# ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ

**Εἰς τὴν Λαμπρὰν καὶ ἐπίσημον ἑορτὴν τῆς Θείας καὶ Ἱερᾶς τοῦ Κυρίου Μεταμορφώσεως τοῦ Σωτῆρος Χριστοῦ.**

***Ἐκδοθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι Γεωργίου Α. Βουτέρη, Ἱερομνήμονος καὶ ἐφημερίου τοῦ ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου.***

**Ψαλλομένη τῇ 6 Αὐγούστου**

Οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε.




ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΙΚΤΩΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Σοὶ εἰσὶν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ

*Θέλων ἐπιδεῖξαι τοῖς μαθηταῖς, δύναμιν ἐξ ὕψους, καὶ σοφίαν παρὰ Πατρὸς ἐν Ὄρει ἀνῆλθες, Χριστὲ τῷ Θαβωρίῳ, καὶ λάμψας ὡς Δεσπότης, πάντας ἐφώτισας.*

---

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ: Α. ΦΡΑΝΤΖΕΣΚΑΚΗ ΚΑΙ Α. ΚΑΪΤΑΤΖΗ
1922

Αὐγούστου 5. Προεόρτια τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος, καὶ τοῦ Ἁγίου μάρτυρος Εὐσιγνίου.

Ἀπολ. Ἦχ. Δ'. Ταχὺ προκατάλαβε.

Χριστοῦ τὴν Μεταμόρφωσιν προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες τὰ Προεόρτια, πιστοὶ καὶ βοήσωμεν. Ἔφθασεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης· ἄνεισιν εἰς τὸ ὄρος τὸ Θαβὼρ ὁ Δεσπότης, τῆς θεότητος αὐτοῦ, ἀπαστράψαι τὴν ὡραιότητα.

Κοντάκιον Ἦχ. Δ. Ἐπεφάνης σήμερον

Ἐν τῇ θεία σήμερον Μεταμορφώσει, ἡ βροτεία ἅπασα φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυγάζουσα. Μεταμορφοῦται Χριστὸς σώζων ἅπαντας.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν Α' Στιχολογ. Κάθισμα Προεόρτιον Ἦχ. Δ'. Ταχὺ προκατάλαβε.

Ἡμέρα εὐφρόσυνος, ἐπέστη νῦν τοῖς πιστοῖς, τῆς θείας ἐνδόξου τε Μεταμορφώσεως, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Πάντες οὖν φαιδρυνθῶμεν τοῦ δοξάσαι ἀξίως, ᾄσμασι θεηγόροις, τὰ αὐτοῦ μεγαλεῖα, ἐν οἷς ὡς Θεὸς ἐκλάμψας κόσμον ἐφώτισεν.

Δόξα καὶ νῦν τὸ αὐτό.

Μετὰ τὴν Β'. Στιχολογ. Κάθισμα Ἦχ. Τὸν τάφον σου Σωτήρ.

Ἐν ὄρει τῷ Θαβώρ, συνανέλθωμεν πάντες, πιστοὶ τοῖς Μαθηταῖς, τοῦ Χριστοῦ τοῖς προκρίτοις νοΐ καὶ κατίδωμεν, τὴν αὐτοῦ Μεταμόρφωσιν, καὶ δοξάσωμεν, τὴν εἰς ἡμᾶς αὐτοῦ ἄκραν, συγκατάβασιν, δι' ἧς τῷ κόσμῳ παρέχει ζωὴν τὴν αἰώνιον.

---

Αὔγουστος Μηναῖον Βενετίας 1852. Τυπογραφεῖον Ἁγ. Γεωργίου.

# ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ
## ΤΗΣ ΑΓΙΑΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ
## ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ
# ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

---

ΤΗι ΣΤ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

***Ἀνάμνησις τῆς Ἁγίας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.***

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ,

***Ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ'. δευτεροῦντες τὸ πρῶτον.***

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν τὴν κρείττονα, ἀλλοιωθέντες ἀλλοίωσιν, οὐρανόφρονες σήμερον Χριστῷ συμμορφούμενοι, εὐσεβῶς καὶ γῆθεν, ἐφ' ὑψηλοτάτην, τῶν ἀρετῶν περιωπήν, ἀνενεχθέντες ἀγαλλιώμεθα. Ὁ δι' οἶκτον γὰρ τὸν ἄμορφον, μεταμορφούμενον ἄνθρωπον, Θαβὼρ κατελάμπρυνεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὦ φιλοθεάμονες, τῶν ὑπὲρ νοῦν καὶ φιλήκοοι, μυστικῶς ἐποπτεύσωμεν, Χριστὸν ἐξαστράψαντα. Θεϊκαῖς ἀκτῖσι, καὶ ἐνηχηθῶμεν, τὴν τοῦ Γεννήτορος φωνήν, ἠγαπημένον ἀνακηρυττουσαν, Υἱὸν τὸν καταυγάσαντα, τὴν ἀνθρωπίνην ἀσθένειαν, ἐν Θαβὼρ καὶ πηγάσαντα, φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.

Ἅπαν νῦν ἐγκόσμιον καὶ ὑπερκόσμιον σύστημα, συγκινείσθω πρὸς αἴνεσιν, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ νεκρῶν καὶ ζώντων, κεκυριευκότος, Θεοπρεπῶς γὰρ Ἑαυτῷ, Μεταμορφούμενος συμπαρίστησι τοῦ νόμου καὶ τῆς χάριτος, τοὺς προστάτας καὶ κήρυκας, ἐν Θαβὼρ ὡς ηὐδόκησεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα καὶ νῦν. Ἦχος πλ. δ'.

Τὸν γνόφον τὸν νομικόν, ἡ φωτεινὴ τῆς Μεταμορφώσεως διεδέξατο νεφέλη, ἐν ᾗ Μωϋσῆς καὶ Ἠλίας γενόμενοι, καὶ τῆς ὑπερφώτου δόξης ἀξιωθέντες Θεῷ ἔλεγον. Σὺ εἶ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν αἰώνων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΕΣΤΟΡΟΣ ΠΑΠΑΝΤΩΝΙΟΥ

*Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.*

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Σήμερον ὁ Χριστός, ἐν ὄρει Θαβωρίῳ, τὴν τοῦ Ἀδὰμ ἀμείψας, ἀμαυρωθεῖσαν φύσιν, λαμπρύνας ἐθεούργησεν.

Στίχ. Σοὶ εἰσιν οἱ οὐρανοί, καὶ σὴ ἐστιν ἡ γῆ.

Φέγγει τῶν ἀρετῶν, ἐκλάμποντες προσβῶμεν, ἐν Ὄρει τῷ Ἁγίῳ, ὀψόμενοι τὴν θείαν, Κυρίου Μεταμόρφωσιν.

Στίχ. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Ἥλιος μὲν τὴν γῆν φαιδρύνων, αὖθις δύνει· Χριστὸς δὲ μετὰ δόξης, ἀστράψας ἐν τῷ Ὄρει, τὸν κόσμον κατεφώτισεν.

Δόξα καὶ νῦν. Ὅμοιον.

Εἶδον ἐν τῷ Θαβώρ, Μωϋσῆς τε καὶ Ἠλίας, τὸν ἐκ Παρθένου Κόρης, Θεὸν σεσαρκωμένον, βροτῶν εἰς ἀπολύτρωσιν.

Ἀπολυτίκιον.

Μετεμορφώθης ἐν τῷ ὄρει, Χριστὲ ὁ Θεός.

Ὅρα τοῦτο εἰς τὸν Μέγαν Ἑσπερινὸν

Καὶ Ἀπόλυσις

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ,

Στιχολογία οὐ γίνεται. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους στ΄. καὶ ψάλλομεν Στιχηρὰ Ἰδιόμελα δ΄. δευτεροῦντες τὰ δύο πρῶτα.

Ἦχος δ΄. Κοσμᾶ Μοναχοῦ.

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, ὄρος οὐρανὸν ἐμιμεῖτο, νεφέλη ὡς σκηνὴ ἐφηπλοῦτο. Σοῦ Μεταμορφουμένου ὑπὸ Πατρὸς δὲ μαρτυρουμένου, παρῆν ὁ Πέτρος σὺν Ἰακώβῳ καὶ Ἰωάννῃ, ὡς μέλλοντες συνεῖναί σοι, καὶ ἐν τῷ καιρῷ τῆς παραδόσεώς σου· ἵνα θεωρήσαντες τὰ θαυμάσιά σου, μὴ δειλιάσωσι τὰ παθήματά σου, ἃ προσκυνῆσαι ἡμᾶς, ἐν εἰρήνῃ καταξίωσον διὰ τὸ μέδα σου ἔλεος.

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, παραλαβὼν τοὺς Μηθητὰς εἰς ὄρος ὑψηλόν, Μετεμορφώθης ἔμπροσθεν αὐτῶν, ἀκτῖσι δυνάμεως καταυγάζων αὐτούς, ἔνθεν φιλανθρωπίᾳ, ἐκεῖσε ἐξουσίᾳ, δεῖξαι βουλόμενος τῆς Ἀναστάσεως τὴν λαμπρότητα, ἧς καὶ ἡμᾶς ὁ Θεός· ἐν εἰρήνῃ καταξίωσον, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.



Εἰς ὄρος ὑψηλόν, μεταμορφωθεὶς ὁ Σωτὴρ τοὺς κορυφαίους ἔχων τῶν Μαθητῶν, ἐνδόξως ἐξέλαμψας· δηλῶν, ὅτι οἱ τῷ ὕψει τῶν ἀρετῶν διαπρέψαντες, καὶ τῆς ἐνθέου δόξης ἀξιωθήσονται. Συλλαλοῦντες δὲ τῷ Χριστῷ, Μωϋσῆς καὶ Ἠλίας ἐδείκνυον, ὅτι ζώντων καὶ νεκρῶν κυριεύει, καὶ ὁ πάλαι διὰ νόμου, καὶ Προφητῶν λαλήσας ὑπῆρχε Θεός, ᾧ καὶ φωνὴ τοῦ Πατρός, ἐκ νεφέλης φωτεινῆς ἐμαρτύρει λέγουσα· Αὐτοῦ ἀκούετε, τοῦ διὰ Σταυροῦ, τὸν Ἅδην σκυλεύσαντος, καὶ νεκροῖς δωρουμένου ζωὴν τὴν αἰώνιον.

Ὄρος τὸ ποτὲ ζοφῶδες καὶ καπνῶδες, νῦν τίμιον καὶ Ἅγιον ἐστιν ἐν ᾧ οἱ πόδες σου ἔστησαν Κύριε· πρὸ αἰώνων γὰρ κεκαλυμμένον μυστήριον ἐπ' ἐσχάτων ἐφανέρωσεν ἡ φρικτή σου Μεταμόρφωσις, Πέτρῳ Ἰωάννῃ καὶ Ἰακώβῳ· οἵτινες τὴν ἀκτῖνα τοῦ προσώπου σου μὴ φέροντες καὶ τὴν λαμπρότητα τῶν χιτώνων σου, ἐπὶ πρόσωπον εἰς γῆς κατεβαρύνοντο, οἳ καὶ τῇ ἐκτάσει συνεχόμενοι, ἐθαύμαζον βλέποντες, Μωϋσῆν καὶ Ἠλίαν συλλαλοῦντάς σοι τὰ μέλλοντα συμβαίνειν σοι. Καὶ φωνὴ ἐκ τοῦ Πατρός, ἐμαρτύρει λέγουσα. Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε, ὅστις καὶ δωρεῖται τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν. Ἦχος πλ. β΄. Ἀνατολίου.

Προτυπῶν τὴν Ἀνάστασιν τὴν Σήν, Χριστὲ ὁ Θεός, τότε παραλαμβάνεις τοὺς τρεῖς σου Μαθητάς, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἐν τῷ Θαβὼρ ἀνελθών. Σοῦ δὲ Σωτὴρ Μεταμορφουμένου, τὸ Θαβώριον ὄρος φωτὶ ἐσκέπτετο. Οἱ Μαθηταί σου Λόγε, ἔρριψαν ἑαυτοὺς ἐν τῷ ἐδάφει τῆς γῆς, μὴ φέροντες ὁρᾶν, τὴν ἀθέατον μορφήν. Ἄγγελοι διηκόνουν φόβῳ καὶ τρόμῳ, οὐρανοὶ ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπὶ γῆς, τῆς δόξης τὸν Κύριον.

Εἴσοδος Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου Τὸ Ἀνάγνωσμα. Κεφ. κδ΄ 12

Εἶπε Κύριος πρὸς Μωϋσῆν· Ἀνάβηθι πρὸς μὲ εἰς τὸ ὄρος, καὶ στῆθι ἐκεῖ, καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν Νόμον καὶ τὰς Ἐντολάς, ἃς ἔγραψα νομοθετῆσαι αὐτοῖς. Καὶ ἀναστὰς Μωϋσῆς, καὶ Ἰησοῦς ὁ παρεστηκὼς αὐτῷ, ἀνέβησαν ἐπὶ τὸ ὄρος τοῦ Θεοῦ. Καὶ τοῖς Πρεσβυτέροις εἶπεν· Ἡσυχάσατε αὐτοῦ, ἕως ἂν ἐπιστρέψωμεν πρὸς ὑμᾶς· καὶ ἰδοὺ Ἀαρὼν καὶ Ὢρ μεθ' ἡμῶν,

ἐάν τινι συμβῇ κρίσις, προπορευέσθωσαν αὐτοῖς. Καὶ ἀνέβη Μωϋσῆς εἰς τὸ Ὄρος καὶ ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος, καὶ κατέβη ἡ δόξα τοῦ Θεοῦ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέρας· καὶ ἐκάλεσε Κύριος τὸν Μωϋσῆν τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης. Τὸ δὲ εἶδος τῆς δόξης Κυρίου, ὡσεὶ πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, ἐναντίον τῶν υἱῶν Ἰσραήλ. Καὶ εἰσῆλθε Μωϋσῆς εἰς τὸ μέσον τῆς νεφέλης, καὶ ἀνέβη εἰς τὸ ὄρος· καὶ ἦν ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας.

Τῆς ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφ. λγ΄ 11.

Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον, καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν· ὁ δὲ θεράπων Ἰησοῦς υἱὸς Ναυῆ νέος, οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον· Ἰδοὺ σύ μοι λέγεις· Ἀνάγαγε τὸν λαὸν τοῦτον· σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποστελεῖς μετ' ἐμοῦ· σὺ δὲ μοι εἶπας Οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ' ἐμοί. Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν, ἵνα γνωστῶς ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ ὅτι λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο. Καὶ λέγει αὐτῷ Κύριος· Ἐγὼ αὐτὸς προπορεύσομαί σου, καὶ καταπαύσω σε. Καὶ εἶπε πρὸς Αὐτόν· Εἰ μὴ σὺ αὐτός, συμπορεύῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν! Καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγώ τε καὶ λαός σου, ἀλλ' ἢ συμπορευομένου σου μεθ' ἡμῶν; καὶ ἐνδοξασθησόμεθα ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ Ἔθνη, ὅσα ἂν ἐπὶ τῆς γῆς ἐστιν. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· Καὶ τοῦτόν σοι τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας. Καὶ λέγει Μωϋσῆς. Δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν.

Καὶ εἶπεν· Ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματί μου, Κύριος ἐναντίον σου καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω Καὶ εἶπεν. Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται. Καὶ εἶπε Κύριος· Ἰδοὺ τόπος παρ' ἐμοῦ, καὶ στήθι ἐπὶ τῆς πέτρας. Ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας, καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω· καὶ ἀφελῶ τὴν χεῖρά μου, καὶ τότε ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι. Καὶ ὀρθρίσας Μωϋσῆς τὸ πρωΐ, Κεφ. λδ΄. 4, ἀνέβη εἰς τὸ ὄρος τὸ Σινᾶ, καθὰ



συνέταξεν αὐτῷ Κύριος· Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ καὶ ἐκάλεσε τῷ ὀνόματι Κυρίου· Καὶ παρῆλθε Κύριος πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε· Κύριος ὁ Θεὸς οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος, καὶ ἀληθινός. Καὶ σπεύσας Μωϋσῆς, κύψας ἐπὶ τὴν γῆν προσεκύνησεν τῷ Κυρίῳ

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα Κεφ. ιθ΄. 3

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἔρχεται Ἠλιοῦ εἰς Βηρσαβεέ, ἥ ἐστι τοῦ Ἰούδα, καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ. Καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας, καὶ ἦλθε καὶ ἐκάθισεν ὑποκάτω ἀρκεύθου, καὶ ἐκοιμήθη, καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ τὸ φυτόν. Καὶ ἰδού τις ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ Ἀνάστηθι, φάγε, καὶ πίε. Καὶ ἐπέβλεψεν Ἠλιού, καὶ ἰδοὺ πρὸ κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης, καὶ καμψάκη· ὕδατος. Καὶ ἀνέστη, καὶ ἔφυγε, καὶ ἔπιε, καὶ ἐπιστρέψας ἐκοιμήθη. Καὶ ἐπέστρεψεν ὁ Ἄγγελος Κυρίου ἐκ δευτέρου, καὶ ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Ἀνάστηθι, καὶ φάγε καὶ πίε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. Καὶ ἀνέστη, καὶ ἔφαγε, καὶ ἔπιε, καὶ ἐπορεύθη ἐν τῇ ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα νύκτας, ἕως ὄρους Χωρήβ Καὶ εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπήλαιον καὶ κατέλυσεν ἐκεῖ· καὶ ἰδοὺ ρῆμα Κυρίου πρὸς αὐτὸν καὶ εἶπεν Αὐτῷ Κύριος· Ἐξελεύσῃ καὶ στήσῃ ἐν τῷ ὄρει ἐνώπιον Κυρίου· καὶ ἰδοὺ Κύριος παρελεύσεται, καὶ πνεῦμα μέγα κραταιὸν διαλῦον ὄρη, καὶ συντρῖβον πέτρας ἐνώπιον Κυρίου· οὐκ ἐν τῷ πνεύματι Κύριος· καὶ μετὰ τὸ πνεῦμα συσσεισμός· οὐκ ἐν τῷ συσσεισμῷ Κύριος· καὶ μετὰ τὸν σεισσεισμὸν πῦρ· οὐκ ἐν τῷ πυρὶ Κύριος· καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς. καὶ ἐκεῖ Κύριος· Καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλιού, ἐπεκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν μηλωτῇ αὐτοῦ. καὶ ἐξῆλθε καὶ ἔστη παρὰ τὸ σπήλαιον. Καὶ εἶπε Κύριος πρὸς αὐτόν· Πορεύου, καὶ ἀνάστρεφε εἰς τὴν ὁδόν σου καὶ ἥξεις εἰς ὁδὸν ἐρήμου Δαμασκοῦ· καὶ χρίσεις τὸν Ἐλισσαιὲ υἱὸν Σαφάτ, ἀντὶ σοῦ, εἰς προφήτην.

Εἰς τὴν Λιτὴν Στιχηρὰ Ἰδιόμελα Ἦχος β΄.

Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας εἰς ὄρος ὑψηλὸν μετεμορφώθης Ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι κόσμου λυτροῦσαι ἐκ παραβάσεως· διὸ βοῶμέν σοι. Εὔσπλαγχνε Κύριε σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ, μεταμορφωθεὶς ἐν δόξῃ Χριστὲ ὁ

Θεὸς καὶ ὑποδείξας τοῖς Μαθηταῖς σου, τῆς σῆς Θεότητος, καταύγασον καὶ ἡμᾶς, τῷ φωτὶ τῆς σῆς ἐπιγνώσεως, καὶ ὁδήγησον ἐν τρίβῳ τῶν ἐντολῶν σου, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ αὐτός.

Τὸ προήλιον σέλας Χριστός, σωματικῶς ἐπὶ τῆς γῆς περιπολεύων, καὶ πρὶν τοῦ Σταυροῦ, ἅπαντα τὰ τῆς φρικτῆς οἰκονομίας τελέσας θεοπρεπῶς, σήμερον ἐν Θαβὼρ τῷ ὄρει, μυστικῶς τῆς Τριάδος τὸν τύπον ὑποδείκνυσι, τοὺς γὰρ προκρίτους τρεῖς τῶν Μαθητῶν, Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, σὺν αὐτῷ ἀναγὼν κατ' ἰδίαν, καὶ μικρὸν ὑποκρύψας τῆς σαρκὸς τὸ πρόσλημμα μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐμφαίνων τοῦ ἀρχετύπου κάλλους τὴν εὐπρέπειαν, καὶ ταύτην οὐχ ὁλόκληρον τὸ μὲν πληροφορῶν αὐτούς, τὸ δὲ καὶ φειδόμενος, μήπως σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν, ἀλλ' ὡς ἠδύναντο χωρεῖν τοὺς σωματικοὺς ὀφθαλμοὺς περιφέροντες. Καὶ Προφητῶν τοὺς ἀκραίμονας, Μωϋσῆν καὶ Ἠλίαν ἠνέγκατο, ἀναλόγως μαρτυροῦντας Αὐτοῦ τὴν Θεότητα· καὶ ὅτι, αὐτός ἐστι τὸ ἀληθινὸν τῆς πατρικῆς οὐσίας ἀπαύγασμα, ὁ κυριεύων ζώντων καὶ νεκρῶν. Διὸ καὶ νεφέλη καθάπερ σκηνή, περιέσχεν αὐτούς· καὶ φωνὴ ἄνωθεν τοῦ Πατρὸς ἐκ τῆς νεφέλης, ἠχητικῶς προσμαρτυροῦσα καὶ λέγουσα· Οὗτός ἐστιν ὃν ἀρρεύστως ἐκ γαστρός, πρὸ ἑωσφόρου ἐγέννησα, Υἱὸς ὁ ἀγαπητός μου· ὃν ἀπέστειλα σῶσαι, τοὺς εἰς Πατέρα Υἱόν, καὶ Πνεῦμα Ἅγιον βαπτιζομένους καὶ ὁμολογοῦντας πιστῶς, ὡς ἀδιαίρετόν ἐστιν, ἓν τὸ κράτος τῆς Θεότητος αὐτοῦ ἀκούετε. Αὐτὸς οὖν φιλάνθρωπε Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς καταύγασον ἐν τῷ φωτὶ τῆς ἀπροσίτου σου δόξης, καὶ ἀξίους ἀνάδειξον κληρονόμους τῆς ἀτελευτήτου βασιλείας σου, ὡς ὑπεράγαθος.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν τῆς Μεταμορφώσεως Αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός· φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Ὁ αὐτός.

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ, Μωϋσῆς ὁ Θεόπτης καὶ Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος ἐπὶ τῆς Μεταμορφώσεώς σου, μεθ' ὧν καὶ ἡμᾶς τοῦ Σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.



Εἰς τὸν Στίχον ψάλλομεν τὰ Ἰδιόμελα ταῦτα

Ἦχος α΄.

Ὁ πάλαι τῷ Μωσεῖ συλλαλήσας, ἐπὶ τοῦ ὄρους Σινᾶ διὰ συμβόλων. Ἐγώ εἰμι, λέγων ὁ ὤν, σήμερον ἐπ' ὄρους Θαβώρ, μεταμορφωθεὶς ἐπὶ τῶν Μαθητῶν, ἔδειξε τὸ ἀρχέτυπον κάλλος τῆς εἰκόνος, ἐν ἑαυτῷ τὴν ἀνθρωπίνην ἀναλαβοῦσαν οὐσίαν· καὶ τῆς τοιαύτης χάριτος, μάρτυρας παραστησάμενος Μωϋσῆν καὶ Ἠλίαν· κοινωνοὺς ἐποιεῖτο τῆς εὐφροσύνης, προμηνύοντας τὴν ἔξοδον διὰ Σταυροῦ, καὶ σωτήριον Ἀνάστασιν.

Στίχ. Σοὶ εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ.

Τὴν σὴν τοῦ μονογενοῦς Υἱοῦ προορώμενος, ἐν Πνεύματι διὰ σαρκὸς πρὸς ἀνθρώπους ἐπιδημίαν, ὁ Θεοπάτωρ Δαυΐδ, πόρρωθεν πρὸς εὐφροσύνην συγκαλεῖται τὴν κτίσιν, καὶ προφητικῶς ἀνακράζει, Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. Ἐν τούτῳ γὰρ ἐπιβὰς τῷ ὄρει, Σωτὴρ μετὰ τῶν μαθητῶν σου, τὴν ἀμαυρωθεῖσαν ἐν Ἀδὰμ φύσιν, μεταμορφωθείς, ἀπαστράψαι πάλαι πεποίηκας, μεταστοιχειώσας αὐτήν, εἰς τὴν σὴν τῆς Θεότητος δόξαν τε καὶ λαμπρότητα· διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντός. Κύριε δόξα σοι.

Στίχ. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Τὸ ἄσχετον τῆς σῆς φωτοχυσίας, καὶ ἀπρόσιτον τῆς Θεότητος, θεασάμενοι τῶν Ἀποστόλων οἱ πρόκριτοι, ἐπὶ τοῦ ὄρους τῆς Μεταμορφώσεως, ἄναρχε Χριστέ, τὴν θείαν ἠλλοιώθησαν ἔκστασιν· καὶ νεφέλῃ περιλαμφθέντες φωτεινῇ, φωνῆς ἤκουον Πατρικῆς, βεβαιούσης τὸ μυστήριον τῆς σῆς ἐνανθρωπήσεως, ὅτι εἷς ὑπάρχεις καὶ μετὰ σάρκωσιν· Υἱὸς Μονογενὴς καὶ Σωτὴρ τοῦ κόσμου.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Πέτρῳ καὶ Ἰωάννῃ καὶ Ἰακώβῳ, τοῖς προκρίτοις μαθηταῖς σου Κύριε, σήμερον ὑπέδειξας ἐν τῷ ὄρει τῷ Θαβώρ, τὴν δόξαν τῆς θεϊκῆς σου μορφῆς· ἔβλεπον γὰρ τὰ ἱμάτιά σου, ἀστράψαντα ὡς τὸ φῶς, καὶ τὸ πρόσωπόν σου ὑπὲρ τὸν ἥλιον, καὶ μὴ φέροντες ὁρᾷν τὸ ἄστεκτον τῆς σῆς ἐλλάμψεως, εἰς γῆν κατέπιπτον, μηδόλως ἀτενίσαι ἰσχύοντες. Φωνῆς γὰρ ἤκουον μαρτυρούσης ἄνωθεν. Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ὁ ἐλθὼν εἰς τὸν κόσμον σῶσαι τὸν ἄνθρωπον.

'Απολυτίκιον. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου, τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι. 'Εκ γ'.

Καὶ ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Τὴν τῶν βροτῶν ἐναλλαγήν, τὴν μετὰ δόξης σου Σωτήρ, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ. τῆς σῆς ἐλεύσεως δεικνύς, ἐπὶ τοῦ ὄρους Θαβὼρ μετεμορφώθης, Ἠλίας καὶ Μωσῆς συνελάλουν σοι· τοὺς τρεῖς τῶν Μαθητῶν συνεκάλεσας· οἵ κατιδόντες Δέσποτα τὴν δόξαν σου, τῇ ἀστραπῇ σου ἐξέστησαν. Ὁ τότε τούτοις τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα, ὅμοιον.

Ἐπὶ τὸ ὄρος Θαβώρ, μετεμορφώθης, Ἰησοῦ, καὶ νεφέλη φωτεινή, ἐφηπλωμένη ὡς σκηνή, τοὺς Ἀποστόλους τῆς δόξης σου κατεκάλυψεν· ὅθεν καὶ εἰς γῆν ἐπανέβλεπον, μὴ φέροντες ὁρᾶν τὴν λαμπρότητα, τῆς ἀπροσίτου δόξης τοῦ προσώπου σου, Ἄναρχε Σῶτερ Χριστὲ ὁ Θεός. Ὁ τότε τούτους, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν

Δόξα, καὶ νῦν. Τὸ αὐτὸ

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἀνελθὼν σὺν Μαθηταῖς ἐν τῷ ὄρει, καὶ ἐν τῇ δόξῃ τοῦ Πατρὸς ἀπαστράψας, σὺν Μωϋσῇ Ἠλίας σοι παρίστανται. Νόμος καὶ προφῆται γὰρ ὡς Θεῷ λειτουργοῦσιν· ᾧ καὶ τὴν Υἱότητα τὴν φυσικὴν ὁ Γεννήτωρ, ὁμολογῶν ἐκάλεσεν Υἱόν, ὃν ἀνυμνοῦμεν σὺν Σοὶ καὶ τῷ Πνεύματι.

Δόξα καὶ νῦν. Τὸ αὐτό.

Εἶτα οἱ Ἀναβαθμοί, τὸ α' Ἀντίφωνον δ' Ἤχου.

Προκείμενον Ἦχος δ'.

Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί του.

Στιχ. Σοί εἰσιν οἱ οὐρανοί. Πᾶσα πνοή. Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Κεφ. θ'. 28—36)

Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ



Ἰωάννην καὶ Ἰάκωβον, καὶ ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι, Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι Αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας, οἵ, ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον Αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος, καὶ οἱ σὺν αὐτῷ, ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δέ, εἶδον τὴν δόξαν Αὐτοῦ καὶ τοὺς δύο ἄνδρας συνεστῶτας Αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' Αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν. Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶνε· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοι, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην. Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα. Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. Καὶ ἐν τῷ γενέσθαι τὴν φωνήν, εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασι.

Ὁ Ν. Δόξα. Ταῖς τῶν Ἀποστόλων, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον Ἐξάλειψον, τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἦχος β'.

Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι κόσμον λυτροῦσαι ἐκ παραβάσεως, διὸ βοῶμέν σοι· Εὔσπλαγχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν. Τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Εἶθ' οὕτως οἱ δύο Κανόνες τῆς Ἑορτῆς πρῶτος Κανών, οὗ ἡ Ἀκροστοιχίς. Χριστὸς ἐνὶ σκοπιῇ σέλας ἄπλετον εἶδεος ἧκε.

Ποίημα Κοσμᾶ Μοναχοῦ

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμὸς

»Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσί, πόντον ἐρυθρόν, καὶ ὑγρὸν βυθὸν »διελάσαντες, ἀναβάτας τριστάτας, δυσμενεῖς ὁρῶντες ἐν αὐτῷ ὑπο»βρυχίους ἐν ἀγαλλιάσει ἔμελπον. Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δε»δόξασται.

Ῥήματα ζωῆς τοῖς φίλοις Χριστός, καὶ περὶ τῆς θείας δημηγορῶν βασιλείας ἔφη· Ἐν ἐμοὶ τὸν Πατέρα ἐπιγνώσεσθε, φωτί ὡς

ἐξαστράψω ἀπροσίτω, ἐν ἀγαλλιάσει μέλποντας· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ἰσχὺν τῶν ἐθνῶν κατέδεσθε, φίλοι Μαθηταί, θαυμασθήσεσθε δὲ τῷ πλούτῳ αὐτῶν, ὅτι δόξης πληροῦσθε, ὡς ὀφθήσομαι, λαμπρότερος ἡλίου ἐξαστράπτων, ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Σήμερον Χριστὸς ἐν ὄρει Θαβώρ, λάμψας ἀμυδρῶς, θεϊκῆς αὐγῆς ὡς ὑπέσχετο, μαθηταῖς παρεγύμνου χαρακτῆρα, σελασφόρου δὲ πλησθέντες θείας αἴγλης, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Δεύτερος κανών, φέρων Ἀκροστιχίδα
Μωσῆς Θεοῦ πρόσωπον ἐν Θαβὼρ εἶδε,
Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Μωσῆς ἐν θαλάσσῃ προφητικῶς, ἰδὼν ἐν νεφέλῃ καὶ ἐν στύλῳ πάλαι πυρός, τὴν δόξαν Κυρίου, ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὡς πέτρᾳ τῷ σώματι σκεπασθείς, τῷ τεθεαμένῳ, τὸν ἀόρατον καθορῶν, Μωσῆς ὁ Θεόπτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Σὺ ἐπὶ τοῦ ὄρους τοῦ νομικοῦ, καὶ ἐν Θαβωρίῳ, καθωράθης τῷ Μωϋσῇ ἐν γνόφῳ τὸ πάλαι· ἐν φωτὶ δέ, νῦν ἀπροσίτῳ τῆς Θεότητος.

Καταβασία.

»Σταυρὸν χαράξας Μωσῆς, ἐπ᾽ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν »διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ᾽ εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

«Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο »δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Ὅλον τὸν Ἀδὰμ φορέσας Χριστέ, τὴν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας, πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας.

Στύλῳ πυριμόρφῳ καὶ νεφέλῃ πάλαι, ὁ ἐν τῇ ἐρήμῳ τὸν Ἰσραὴλ ἄγων, σήμερον ἐν τῷ ὄρει Θαβὼρ ἀῤῥήτως, ἐν φωτὶ Χριστὸς ἐξέλαμψεν.



Ἕτερος Κανών. Οὐρανίας ἁψῖδος.

Ἡ σκιάζουσα δόξα, ἐν τῇ σκηνῇ πρότερον, καὶ τῷ Μωϋσῇ ὁμιλοῦσα, τῷ σῷ θεράποντι, τύπος γεγένηται, τῆς ἀστραψάσης ἀῤῥήτως, ἐν Θαβώρ σου Δέσποτα Μεταμορφώσεως.

Συνανῆλθέ σοι Λόγε, μονογενὲς ὕψιστε, ἡ τῶν Ἀποστόλων ἀκρότης, ἐπὶ τοῦ ὄρους Θαβώρ, καὶ συμπαρέστησαν, ὅ,τε Μωσῆς καὶ Ἠλίας, ὡς Θεοῦ θεράποντες, μόνε φιλάνθρωπε.

Θεὸς ὅλος ὑπάρχων, ὅλος βροτὸς γέγονας, ὅλῃ τῇ Θεότητι μίξας τὴν ἀνθρωπότητα, ἐν ὑποστάσει σου, ἣν ἐν δυσὶ ταῖς οὐσίαις, Μωϋσῆς Ἠλίας τε, εἶδον ἐν ὄρει Θαβώρ·

Καταβασία.

»Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ »γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ »νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

Κάθισμα, Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

»Εἰσακήκοα τὴν ἔνδοξον, οἰκονομίαν σου, Χριστὲ ὁ Θεός, ὅτι »ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς βοῶντάς »σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

Νόμον ἐν σκιᾷ τῷ γράμματι, διατυπούμενος, Χριστὲ ὁ Θεός, ἐν τῇ νεφέλῃ πυρί, καὶ γνόφῳ καὶ ἐν θυέλλῃ ὤφθης ἐποχούμενος· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἵνα πιστώσῃ τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεός, ὡς προϋπάρχων πρὸ τῶν αἰώνων, καὶ ὁ αὐτὸς ἐν νέφει τὴν ἐπίβασιν θείς, ἐν τῷ Θαβὼρ ἀῤῥήτως ἐξέλαμψας.

Συλλαλοῦντες παρειστήκεισαν δουλοπρεπῶς, σοὶ τῷ Δεσπότῃ Χριστῷ, οἷς ἐν πυρὸς ἀτμίδι καὶ γνόφῳ, καὶ λεπτοτάτῃ αὔρᾳ προσωμίλησας. Δόξα τῇ δυνάμει σου Κύριε

Κατεμήνυον τὴν ἔξοδον, τὴν ἐν Σταυρῷ σου ἐν Θαβὼρ παρόντες· ὁ ἐν πυρί σε καὶ βάτῳ πάλαι, προκατιδὼν Μωσῆς, καὶ ὁ μετάρσιος δίφρῳ, ἐν πυρίνῳ Ἠλίας Χριστέ.

Ἕτερος Κανών. Ὁ Εἱρμός

»Ἐκ σαρκός σου βολίδες Θεότητος, ἐξεπορεύοντο, Προφητῶν »καὶ Ἀποστόλων, ὅθεν οἱ πρόκριτοι μέλοντες ἀνεβόων· Δόξα τῇ »δυνάμει σου Κύριε.

Ὁ τὴν βάτον φυλάξας ἀλώβητον, προσομιλοῦσαν πυρί, τῷ

Μωσεῖ θεολαμποῦσαν σάρκα ὑπέδειξας Δέσποτα μελῳδοῦντι· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὑπεκρύβη ἀκτῖσι Θεότητος, αἰσθητὸς ἥλιος, ὡς ἐν ὄρει Θαβωρίῳ, εἰδέ σε μεταμορφούμενον Ἰησοῦ μου· Δόξα τῇ δυνάμει σου Κύριε.

Πῦρ μὴ φλέγον τὴν ὕλην τοῦ σώματος, ὡράθης ἄϋλον, ὡς Μωσεῖ καὶ Ἀποστόλοις, ὤφθης Ἠλίᾳ τε, Δέσποτα εἷς ἐκ δύο, ἐν δυσὶ τελείαις ταῖς φύσεσιν.

Καταβασία.

»Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενό»ησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

ᾠδὴ ε΄. Ὁ Εἱρμός.

»Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ »ἔργα ὑμνεῖ σε Χριστέ, τὸν Δημιουργὸν ἐν τῷ φωτί σου, τὰς ὁδοὺς »ἡμῶν εὔθυνον.

Προσενωπίῳ σοι ὧραι ὑπεκλίθησαν· φῶς γὰρ καὶ πρὸ ποδῶν ὑψίδρομον σέλας Χριστέ, ἥλιος εἶχε, μορφὴν βροτείαν, ὡς ἀμεῖψαι εὐδόκησας.

Ἰδοὺ Σωτὴρ ἀνεβόων Μωϋσῆς καὶ Ἠλίας τῶν Μαθητῶν, ἐν ὄρει Ἁγίῳ Θαβὼρ ἐνηχουμένων, Χριστὸς ὃν πάλαι, προηγγείλαμεν ὄντα Θεόν.

Ἡ ἀναλλοίωτος φύσις, τῇ βροτείᾳ μιχθεῖσα τῆς ἐμφεροῦς ἀΰλου Θεότητος, φῶς προγυμνοῦσα τοῖς Ἀποστόλοις, ἀπορρήτως ἐξέλαμψε.

Σὲ τὸ ἀΐδιον φέγος, ἐν πατρῴα τῇ δόξῃ, οἱ μαθηταί, ὡς εἶδον ἐκλάμψαν Χριστέ, σοὶ ἀνεβόων· ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Ἕτερος Κανών. Ἵνα τί μὲ ἀπώσω.

Ῥητορεύουσα γλῶσσα. σοῦ τὰ μεγαλεῖα οὐ δύναται φθέγξασθαι ὁ κρατῶν ζωῆς γάρ, καὶ θανάτου δεσπόζων παρέστησας, ἐν Θαβὼρ τῷ ὄρει, τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν μαρτυρήσοντάς σου τὴν Θεότητα.

Ὁ χερσὶν ἀοράτοις, πλάσας κατ' εἰκόνα σου Χριστὲ τὸν ἄνθρωπον, τὸν ἀρχέτυπόν σου, ἐν τῷ πλάσματι κάλλος ὑπέδειξας· οὐχ ὡς ἐν εἰκόνι, ἀλλ' ὡς αὐτὸς εἶ κατ' οὐσίαν, ὁ Θεὸς χρηματίσας καὶ ἄνθρωπος.



Συγκραθεὶς ἀσυγχύτως, ἄνθρακα ὑπέδειξας ἡμῖν Θεότητος, καταφλέγοντα μὲν ἁμαρτίας, ψυχὰς δὲ φωτίζοντα ἐν Θαβὼρ τῷ ὄρει ᾧ Μωϋσῆν καὶ τὸν Ἠλίαν, Μηθητῶν τε ἐξάρχοις ἐξέστησας.

Καταβασία.

»Ὢ τρισμακάριτον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς »καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελε»ασθείς, Θεῷ τῷ τροσπαγέντι, σαρκὶ τῷ παρέχοντι τὴν εἰρήνην »ταῖς ψυχαῖς ἡμῶν.

ᾠδὴ στ΄. Ὁ Εἱρμός.

»Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ »μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Λαμπηδόνος πλέον, ἡλίου φῶς τρανότερον ἐν Θαβὼρ ἐκλάμψας, ὁ Χριστὸς ἡμᾶς ἐφώτισεν,

Ἀνελθὼν ἐν ὄρει, Θαβὼρ μετεμορφώθης Χριστέ, καὶ τὴν πλάνην πᾶσαν, ἀμαυρώσας φῶς ἐξέλαμψας.

Σὲ Θεὸν ἐπέγνων οἱ ἔνδοξοι Ἀπόστολοι, ἐν Θαβὼρ Χριστὲ δέ, ἐκπλαγέντες γόνυ ἔκλιναν.

Ἕτερος Κανών. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς μέγα καὶ φοβερόν, ὡράθη θέαμα σήμερον! ἐξ οὐρανοῦ αἰσθητός, ἐκ γῆς δὲ ἀσύγκριτος, ἐξήστραψεν ἥλιος, τῆς δικαιοσύνης, νοητὸς ἐπὶ τοῦ ὄρους Θαβώρ.

Παρῆλθε μὲν ἡ σκιά, τοῦ νόμου ἐξασθενήσασα, ἐλήλυθε δὲ σαφῶς, Χριστὸς ἡ ἀλήθεια, Μωσῆς ἀνεβόησεν. ἐν τῷ Θαβωρίῳ κατιδών σου τὴν Θεότητα.

Ὁ στῦλος τῷ Μωϋσεῖ Χριστὸν τὸν μεταμορφούμενον, ἡ δὲ νεφέλη σαφῶς, τὴν Χάριν τοῦ Πνεύματος τὴν ἐπισκιάσασαν, ἐν τῷ Θαβωρίῳ παρεδήλου ἐμφανέστατα.

Καταβασία.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Κοντάκιον Αὐτόμελον. Ἦχος βαρὺς

Ἐπὶ τοῦ ὄρους Μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο· ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Ὁ Οἶκος.

Ἐγέρθητε οἱ νωθεῖς, μὴ πάντοτε χαρμερπεῖς, οἱ συγκάμπτοντες εἰς γῆν τὴν ψυχήν μου λογισμοί, καὶ ἄρθητε εἰς ὕψος θείας ἀναβάσεως προσδράμωμεν Πέτρῳ καὶ τοῖς Ζεβεδαίου, καὶ ἅμα ἐκείνοις τὸ Θαβώριον ὄρος προφθάσωμεν, ἵνα ἴδωμεν σὺν αὐτοῖς τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν· φωνῆς δὲ ἀκούσωμεν, ἧς περ ἄνωθεν ἤκουσαν, καὶ ἐκήρυξαν τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Συναξάριον,

Τῇ στ΄. τοῦ αὐτοῦ μηνός, Ἀνάμνησις τῆς θεία Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στιχ. Θαβὼρ ὑπὲρ πᾶν γῆς ἐδοξάσθη μέρος.

Ἰδὸν Θεοῦ λάμψασαν ἐν δόξῃ φύσιν.

Μορφὴν ἀνδρομένην κατὰ ἕκτην Χριστὸς ἀμεῖψε.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

»Ἀβραμιαῖοι ποτέ, ἐν Βαβυλῶνι παῖδες, καμίνου φλόγα κατε»πάτησαν, καὶ ὑμνοῦντες ἔψαλον. Ὁ τῶν Πατέρων Θεὸς εὐλο»γητὸς εἶ.

Περιχυθέντες φωτί, τῆς ἀπροσίτου δόξης, Θαβὼρ ἐν ὄρει οἱ Ἀπόστολοι, Χριστὲ ἀνεβόησαν. Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Λαίλαπι θείας ἠχῆς, καὶ δροσοβόλῳ νεφέλῃ, Χριστὲ καὶ αἴγλῃ σου ἡδόμενοι, οἱ Ἀπόστολοι ἔψαλλον· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἐν ἀπορρήτῳ φωτί, ὡς σὲ κατεῖδε Πέτρος, Θαβὼρ ἐν ὄρει ἐξαστράψαντα, Χριστὲ ἀνεβόησεν· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ

Τῷ ἀρχηγῷ τῆς ζωῆς, Χριστῷ συνόντες παῖδες, οἱ Ζεβεδαίου ὡς ἀπέπεμψε, μορφῆς φῶς ἐβρόντησαν. Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἕτερος Κανών. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Νῦν καθωράθη Ἀποστόλοις, τὰ ἀθέατα Θεότης ἐν σαρκίῳ, ἐν τῷ ὄρει Θαβώρ, ἀστράπτουσα βοῶσιν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἔφριξαν φόβῳ ἐκπλαγέντες, τὴν εὐπρέπειαν τῆς θείας βασιλείας, ἐν τῷ ὄρει Θαβώρ, Ἀπόστολοι βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Νῦν τὰ ἀνήκουστα ἠκούσθη· ὁ ἀπάτωρ γὰρ Υἱὸς ἐκ τῆς Παρ-



θένου, τῇ πατρῴᾳ φωνῇ, ἐνδόξως μαρτυρεῖται, οἷα Θεὸς καὶ Ἄνθρωπος, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας.

Θέσει οὐ γέγονας Ὑψίστου, τῇ οὐσίᾳ δὲ Υἱὸς ἠγαπημένος, προϋπάρχων ἡμῖν, ὡμίλησας ἀτρέπτως· Εὐλογητὸς εἶ κράζουσιν, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Καταβασία

»Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς λαοὺς ἐκλόνησε, »πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς παῖδας »οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον· ἀλλ᾽ ἀντη»χοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύ»μνητος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

»Οἱ ἐν Βαβυλῶνι παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ τυράν»νου καὶ φλογὸς ἀπειλήν, ἀνδρείως κατεπάτησαν· καὶ μέσον πυ»ρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογεῖτε πάντα τὰ ἔρ»γα Κυρίου τὸν Κύριον.

Νεύματι τὸ πᾶν ὁ φέρων, ποσὶν ἀχράντοις ὄρους ἐπέβη Θαβώρ, ἐν ᾗ ἡλίου μᾶλλον αὐγῆς ἐξαστράψας τὸ πρόσωπον, νόμου προκρίτους, καὶ τῆς χάριτος ἔδειξε μέλποντας. Εὐλογεῖται πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐν τῇ ἀπροσίτῳ δόξῃ, κατ᾽ ὄρος ἐκφανθὲν ἀπορρήτως Θαβώρ, τὸ ἄσχετον καὶ ἄδυτον φῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τὴν κτίσιν φαιδρῦναν, τοὺς ἀνθρώπους ἐθέωσε μέλποντας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἱεροπρεπῶς ἑστῶτες, Μωσῆς τε καὶ Ἠλίας ἐν ὄρει Θαβώρ, τῆς θείας χαρακτῆρα, τρανῶς ὑποστάσεως βλέποντες, Χριστὸν ἐν Πατρῴᾳ, ἐξαστράψαντα δόξῃ, ἀνέμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Διὰ τῆς ἐν γνόφῳ θείας ὀμφῆς, τὸ πρόσωπον ποτὲ ἐδοξάσθη Μωσῆς. Χριστὸς δὲ ὡς ἱμάτιον, φῶς καὶ δόξαν ἀναβάλλεται. φωτὸς αὐτουργός, γὰρ πεφυκὼς κραυγάζει τοὺς μέλποντας. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐκ φωτογενοῦς νεφέλης, Χριστὸν οἱ Μαθηταὶ ἀμπεχόμενον, ὁρῶντες ἐν Θαβώρ, καὶ πρηνεῖς ἐπὶ γῆς κατανεύσαντες, τὸν νοῦν ἐλλαμφθέντες, σὺν Πατρὶ τοῦτον ὕμνουν καὶ Πνεύματι· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

Ἕτερος Κανών. Ἑπταπλασίως κάμινον.

Ἀκηκοότες Δέσποτα, ἐκ Πατρὸς μαρτυρούμενον, καὶ ὡς ἀνθρωπίνης, στερροτέραν ὄψεως, ὁρᾶν τοῦ προσώπου σου, τὴν ἀστραπὴν μὴ φέροντες, σοῦ οἱ Μαθηταί, ἐπὶ τὴν γῆν κατέπιπτον, ἐν φόβῳ μελῳδοῦντες· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Βασιλευόντων πέφυκας, Βασιλεὺς ὡραιότατος, καὶ τῶν πανταχοῦ κυριευόντων Κύριος, δυνάστης μακάριος, καὶ φῶς οἰκῶν ἀπρόσιτον, ᾧ οἱ Μαθηταί, καταπλαγέντες ἐβόων· Οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς οὐρανοῦ δεσπόζοντι, καὶ τῆς γῆς βασιλεύοντι, καὶ καταχθονίων, τὴν κυρείαν ἔχοντι, Χριστέ σοι παρέστησαν· ἐκ μὲν τῆς γῆς Ἀπόστολοι, ὡς ἐξ οὐρανοῦ δὲ ὁ Θεσβίτης Ἠλίας, Μωσῆς δὲ ἐκ νεκάδων μελῳδοῦντες συμφώνως· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥαθυμοτόκοι μέριμναι, ἐπὶ γῆς κατελείφθησαν, τῇ τῶν Ἀποστόλων, ἐκλογῇ φιλάνθρωπε, ὡς σοὶ ἠκολούθησαν, πρὸς τὴν ἐκ γῆς μετάρσιον, θείαν πολιτείαν, ὅθεν καὶ ἐπαξίως, τῆς σῆς θεοφανείας, ἐμελῴδουν τυχόντες· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασία.

»Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πα-»τέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς »δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, »Πνεῦμα πανάγιον, εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Μεγαλυνάρια

Ψαλλόμενα ἐν τῇ ᾠδῇ ταύτῃ.

Αἱ γενεαὶ πᾶσαι σὲ δοξολογοῦμεν, Σωτήρ μου Ζωοδότα.

Αἱ γενεαὶ πᾶσαι τῇ σῇ Μεταμορφώσει ὕμνον προσφέρουσί σε.

Ἀνήκουστα ἠκούσθη λόγος Πατρὸς ἀπάτωρ Υἱὸς ἐκ τῆς Παρθένου.

Βασιλευόντων πέλεις σὺ Βασιλεὺς Οἰκτίρμων καὶ Κύριος Κυρίων

Ἔφριξαν ἰδόντες ἐν Θαβωρίῳ δόξαν τὴν σὴν οἱ Μαθηταί σου.

Εἰρήνην ἐκκλησίαις δώρησαι καὶ τῷ κόσμῳ τῇ σῇ Μεταμορφώσει.

Ἐν ὄρει Θαβωρίῳ μέγα καὶ φρικῶδες θέαμα καθωράθη.



Ἦχος ἐκ νεφέλης Θεόκτυπος τὸ θαῦμα ἐν ὄρει ἐβεβαίου.

Θαβὼρ ἐν ὄρει, Σῶτερ, Μετεμορφώθης δείξας Μαθηταῖς θείαν δόξαν.

Καλὸν ὧδε ποιῆσαι σκηνὰς τρεῖς, ἔφη Πέτρος, μὴ εἰδὼς ὃ ἐλάλει.

Λάμψον Πανοικτίρμων, καὶ ἐφ' ἡμᾶς τὸ φῶς σου, πρεσβείαις τῆς Μητρός σου.

Μετεμορφώθης, Σῶτερ, ἐν ὄρει Θαβωρίῳ ἔμπροσθεν Μαθητῶν σου.

Μωσῆς δὲ καὶ Ἠλίας ἐν τῇ Μεταμορφώσει σοὶ συνελάλουν, Σῶτερ

Μετεμορφώθης ὄρει, Χριστέ, τῷ Θαβωρίῳ ἔμπροσθεν Μαθητῶν σου.

Ὄρος τὸ ζωφῶδες νῦν τίμιον ὑπάρχει καὶ Ἅγιον καὶ Θεῖον.

Πρηνεῖς οἱ Μαθηταί σου ἔπεσον τὴν λάμψιν μὴ φέροντες ὁρᾷν σε.

Πρὸ τοῦ Σταυροῦ σου, Σῶτερ, Μετεμορφώθης ὄρει, Χριστέ, τῷ Θαβωρίῳ.

Παραλαβὼν εἰς ὄρος Χριστέ, τοῖς Μαθηταῖς του Μετεμορφώθης λόγῳ.

Πέτρῳ, Ἰακώβῳ καὶ Ἰωάννῃ δόξαν, ὑπέδειξας σὴν Λόγε.

Τελοῦμεν ἐτησίως μεταμορφώσεώς σου θείαν ὑμνοῦντες μνήμην.

Τὸ ὄρος ἐσκεπάσθη φωτί, Θαβώρ, τὸ θεῖον, σοῦ Μεταμορφουμένου.

Ὑπέδειξας ἐν ὄρει τὴν θεϊκήν σου δόξαν Θαβὼρ τοῖς Μαθηταῖς σου.

Φωνὴ ἐκ τῆς νεφέλης Πατρὸς προσεμαρτύρει Υἱὸν ἀγαπητόν σε.

Φωτί σου οὐρανίῳ κατάφλεξον, Οἰκτίρμων, πλήθη ἁμαρτιῶν μου.

Φώτισον φωτί σου ἡμᾶς τοὺς δούλους, Σῶτερ, τοὺς σὲ πεπιστευκότας.

Φῶς λάμψον ταῖς καρδίαις ἡμῶν τῶν λατρευτῶν σου, Θεάνθρωπε Σωτήρ μου.

Δόξα.

Ὦ Τρίφωτε Θεέ μου, Πατὴρ Υἱὲ καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

## Καὶ νῦν.

Τὸ φῶς τὸ τοῦ Υἱοῦ σου, ἰδεῖν ἡμᾶς σοὺς δούλους ἀξίωσον, Παρθένε.

## Ὁ Εἱρμός.

Ὁ Τόκος σου ἄφθορος ἐδείχθη· Θεὸς ἐκ λαγόνων σου προ-»ῆλθε σαρκοφόρος, ὡς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συ-»νανεστράφη· σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Σύντρομοι καινῇ φωτοχυσίᾳ, ἀθρόως οἱ Μαθηταὶ ἐλλαμφθέντες, πρὸς ἀλλήλους ἑώρων, καὶ πρηνεῖς εἰς γῆν καταπεσόντες, σοὶ τῷ Δεσπότῃ τῶν ἁπάντων προσεκύνησαν.

Ἦχος ἐκ νεφέλης ἀνεπέμπετο, Θεόκτυπος βεβαιῶν τὸ θαῦμα ὁ Πατὴρ γὰρ τῶν φώτων, Οὗτός ἐστιν Υἱὸς ἀγαπητός μου· τοῖς Ἀποστόλοις ἀνεβόα, οὗ ἀκούετε.

Καινὰ κατιδόντες καὶ παράδοξα, φωνῆς πατρικῆς ἐνωτισθέντες, ἐν Θαβὼρ οἱ τοῦ Λόγου ὑπηρέται, ἐκμαγεῖον τοῦ ἀρχετύπου· Οὗτος ὑπάρχει ἀνεβόων ὁ Σωτὴρ ἡμῶν.

Εἰκὼν ἀπαράλλακτε τοῦ Ὄντος, ἀκίνητε σφραγὶς ἀναλλοίωτε, Υἱὲ Λόγε σοφία καὶ βραχίων, δεξιὰ Ὑψίστου σθένος, σὲ ἀνυμνοῦμεν σὺν Πατρί τε καὶ τῷ Πνεύματι.

## Ἕτερος Κανών. Ὁ Εἱρμός.

«Ἔφριξε πᾶσα ἀκοή, τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν, ὅπως »ὁ Ὕψιστος, ἑκών, κατῆλθε μέχρι καὶ σώματος, Παρθενικῆς ἀπὸ »γαστρός, γενόμενος ἄνθρωπος· διὸ τὴν ἄχραντον, Θεοτόκον οἱ »πιστοὶ μεγαλύνομεν».

Ἵνα σου δείξῃς ἐμφανῶς, τὴν ἀπόρρητον δευτέραν κατάβασιν, ὅπως ὁ Ὕψιστος Θεός, ὀφθήσῃ ἑστὼς ἐν μέσῳ θεῶν, τοῖς Ἀποστόλοις ἐν Θαβώρ, Μωσεῖ σὺν Ἠλίᾳ, τε, ἀρρήτως ἔλαμψας· διὸ πάντες σε Χριστὲ μεγαλύνομεν.

Δεῦτέ μοι πείθεσθε λαοί, ἀναβάντες εἰς τὸ ὄρος τὸ Ἅγιον, τὸ ἐπουράνιον, ἀΰλως στῶμεν ἐν πόλει ζῶντος Θεοῦ, καὶ ἐποπτεύσωμεν νοΐ Θεότητα ἄϋλον, Πατρὸς καὶ Πνεύματος, ἐν Υἱῷ Μονογενεῖ ἀπαστράπτουσαν.

Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον, πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω ἀγαθὲ περιουσίας σου.



## Καταβασία.

»Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα »Χριστόν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρου ἐν γῇ, πεφυτούργη-»ται, δένδρον· διὸ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγα-»λύνομεν.

»Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνα-»τος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ »παγγενὴς κατάρα διελέλυται, τῷ Βλαστῷ τῆς Ἁγνῆς Θεομήτο-»ρος, ἣν πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.

## Ἐξαποστειλάριον αὐτόμελον Ἐκ γ'.

Φῶς ἀναλλοίωτον Λόγε, φωτὸς Πατρὸς ἀγεννήτου, ἐν τῷ φανέντι φωτί σου, σήμερον ἐν Θαβωρίῳ, φῶς εἴδομεν τὸν Πατέρα, φῶς καὶ τὰ Πνεῦμα, φωταγωγοῦν πᾶσαν Κτίσιν.

## Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν τρία

## Στιχηρὰ Προσόμοια γ'. δευτεροῦντες τὸ α'.

## Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Πρὸ τοῦ τιμίου Σταυροῦ σου καὶ τοῦ πάθους, λαβὼν οὓς προέκρινας τῶν ἱερῶν Μαθητῶν, πρὸς τὸ Θαβώριον Δέσποτα, ἀνῆλθες ὄρος, δεῖξαι θελήσας τούτοις τὴν δόξαν σου· οἱ καὶ κατιδόντες, σε μεταμορφούμενον, καὶ ὑπὲρ ἥλιον λάμψαντα, πρηνεῖς πεσόντες τὴν δυναστείαν σου κατεπλάγησαν, ἀναβοῶντες· Σὺ τὸ ἄχρονον, φῶς ὑπάρχεις Χριστὲ καὶ ἀπαύγασμα, τοῦ Πατρὸς, εἰ καὶ θέλων, σὰρξ ὡράθης ἀναλλοίωτος.

Ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς Λόγος, ὁ φῶς ἱμάτιον περιβαλλόμενος, μεταμορφούμενος ἔμπροσθεν, τῶν μαθητῶν σου, ὑπὲρ τὸν ἥλιον Λόγε ἔλαμψας Μωσῆς καὶ Ἠλίας δέ, σοὶ παρειστήκεισαν, νεκρῶν καὶ ζώντων σε Κύριον, δηλοποιοῦντες, καὶ σοῦ δοξάζοντες τὴν ἀπόρρητον οἰκονομίαν καὶ τὸ ἔλεος, καὶ τὴν πολλὴν συγκατάβασιν, δι' ἧς ἔσωσας κόσμον, ἁμαρτίαις ἀπολλύμενον.

Παρθενικῆς ἐκ νεφέλης σε τεχθέντα, καὶ σάρκα γενόμενον, καὶ πρὸς τὸ ὄρος Θαβὼρ μεταμορφούμενον Κύριε, καὶ τῇ νεφέλῃ, τῇ φωτεινῇ σε περικυκλούμενον, φωνὴ τοῦ Γεννήτορος, ἀγαπητόν σε Υἱὸν τῶν Μαθητῶν συμπαρόντων σοι σαφῶς ἐδήλου, ὡς ὁμοούσιον καὶ ὁμόθρονον· ὅθεν ὁ Πέτρος ἐκπληττόμενος, Καλὸν ὧδε ἐστὶν εἶναι ἔλεγε, μὴ εἰδὼς ὃ ἐλάλει, Εὐεργέτα πολυέλεε.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΤΟΡΗΣ ΠΑΠΑΣ...

Δόξα καὶ νῦν. Ἦχος πλ. δ', Βύζαντος

Παρέλαβεν ὁ Χριστός, τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ Μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ, ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας μετ' Αὐτοῦ συλλαλοῦντες· καὶ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοτε καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν ψάλλομεν τὰ παρόντα Ἀντίφωνα.

Ἀντίφωνον Α'.

Στιχ. α'. Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ'. β'. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κλπ.

Στιχ. γ'. Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Στιχ. δ'. Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Δόξα καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β'.

Στίχ. α'. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ μεταμορφωθείς, ψάλλοντάς σοι ἀλληλούϊα.

Στιχ. β'. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, κτλ.

Στίχ. γ'. Δεδεξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, κτλ.

Στίχ. δ'. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ κτλ.

Δόξα καὶ νῦν.

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, κτλ.



Ἀντίφωνον Γ'.

Στίχ. α'. Τὰ ἐλέη σου Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι. Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεὸς κτλ.

Στίχ. β'. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε. Μετεμορφώθης ἐν τῷ ὄρει, κτλ.

Στιχ. γ'. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστέ, κτλ.

Στιχ. δ'. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.

Μετεμορφώθης ἐν τῷ ὄρει κτλ.

Εἰσοδικόν.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ψάλλοντά σοι Ἀλληλούϊα.

Τὸ Ἀπολυτίκιον, καὶ τὸ Κοντάκιον.

Τὸ Τρισάγιον, ὁ Ἀπόστολος.

Προκείμενον Ἦχος δ'.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Καθολικῆς Β' Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, σπουδάσατε βεβαίαν ἡμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον Βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων! καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι. Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γεννηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης. Οὗτος ἐστὶν ὁ Υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ Οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ Ὄρει τῷ Ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ἡμῶν.

Ἀλληλούϊα, Ἦχος πλ. δ΄.

Σοὶ εἰσὶν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ· Στιχ.

Μακάριος ὁ λαός, οὗ ὁ Κύριος ὁ Θεὸς αὐτοῦ.

Εὐαγγέλιον εἰς τὴν Λειτουργίαν. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε' καλὸν ἐστὶν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ. Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα, Οὗτος ἐστὶν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν' ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε· Καὶ ἀκούσαντες οἱ Μαθηταὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν καὶ εἶπεν· ἐγέρθητε καὶ μὴ φοβεῖσθε. Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον, εἰμὴ τὸν Ἰησοῦν μόνον. Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Εἰς τὸ Ἐξαιρέτως τὸ τροπάριον τῆς ζ΄ ᾠδῆς.

Θαβὼρ ἐν ὄρει Σῶτερ, Μετεμορφώθης δείξας, μαθητῶν θείαν δόξαν.

Νῦν τὰ ἀνήκουστα ἠκούσθη ὁ ἀπάτωρ γὰρ Υἱὸς ἐκ τῆς Παρθένου, τῇ πατρῴα φωνῇ, ἐνδόξως μαρτυρεῖται, οἷα Θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας.

Εἰς τὰ Δίπτυχα τὸ παρόν. Μεγαλυνάριον

Θέλων ἐπιδεῖξαι τοῖς Μαθηταῖς, δύναμιν ἐξ ὕψους καὶ σοφίαν παρὰ Πατρός, ἐν ὄρει ἀνῆλθες, Χριστὲ τῷ Θαβωρίῳ, καὶ λάμψας ὡς Δεσπότης, πάντας ἐφώτισας.



Κοινωνικόν.

Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε πορευσόμεθα εἰς τὸν αἰῶνα. Ἀλληλούϊα.

Ἀντὶ τοῦ εἴδομεν τὸ φῶς λέγομεν Μετεμορφώθης ἐν τῷ Ὄρει Χριστὲ ὁ Θεός.

Ὁποιανδήποτε ἡμέραν τύχῃ ἡ ἑορτὴ τῆς Μεταμορφώσεως, καταλύομεν ἰχθύας.

Ἀπόλυσις.

Ὁ ἐν τῷ Ὄρει τὸ Θαβὼρ μεταμορφωθείς, ἐνώπιον τῶν Ἁγίων Μαθητῶν καὶ Ἀποστόλων Χριστὸς ὁ ἀληθινὸς Θεός, πρεσβείαις τῆς Παναχράντου αὐτοῦ μητρός, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων πατέρων ἡμῶν, τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ὁσίου Μελετίου, τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχ. Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου καὶ πάντων σου τῶν Ἁγίων.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.

Ἕτερα Μεγαλυνάρια.

Τὴν τῶν Ἀποστόλων καὶ Μαθητῶν, ἀκρότητα Σῶτερ, συμπαρέλαβες ἐν Θαβώρ, καὶ ἔμπροσθεν τούτων λαμπρῶς Μετεμορφώθης, ἀκτῖσι καταυγάζων αὐτοὺς δυνάμεως.

Ὡς τοὺς Ἀποστόλους θείῳ φωτί, κατηύγασας τότε ἐν τῷ Ὄρει Χριστὲ Θαβώρ, οὕτως ἡμῶν πάντων τὰς ψυχὰς Φωτοδότα, φώτισον καὶ σῶσον ὡς Ὑπεράγαθος.

ΠΟΛΥΕΛΕΟΣ. Ψαλλόμενος εἰς τὴν Μεταμόρφωσιν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐν ὄρει Ἁγίῳ αὐτοῦ. Ἀλληλούϊα.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει Ἁγίῳ Αὐτοῦ.

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ.

Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ.

Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου.

Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ὄρος τοῦ Θεοῦ, ὄρος πίον, ὄρος τετυρωμένον.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου ;

Ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ Αὐτοῦ ;

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου ;

Ἢ τίς κατασκηνώσει ἐν ὄρει Ἁγίῳ Αὐτοῦ;
Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.
Αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος Ἅγιόν σου.
Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων,
Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ.
Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον,
Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς.
Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ.
Τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
Τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας.
Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.
Ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ Αὐτοῦ
Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου;
Ἡ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;
Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν.
Ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου.
Κύριε. ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται.
Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.
Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστὲ ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθὲ ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εὐχὴ εἰς Μετάληψιν σταφυλῆς τῇ ἕκτῃ Αὐγούστου.**

Τοῦ Κυρίου δεηθῶμεν

Εὐλόγησον Κύριε, τὸν καρπὸν τοῦτον τῆς ἀμπέλου τοῦ νέου, οὓ διὰ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ τῶν σταγόνων τῆς βροχῆς, καὶ τῆς τῶν καιρῶν γαλήνης εἰς ταύτην τὴν ὡριμωτάτην στάσιν ἐλθεῖν εὐδόκησας, ἵνα οἱ ἐν ἡμῖν, τοῖς ἐν αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν, εἰς εὐφροσύνην, καὶ τοῖς προσε-



νέγκασι δῶρον εἰς ἐξιλασμὸν ἁμαρτιῶν, διὰ τοῦ ἱεροῦ καὶ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Λέγομεν Ἀπολυτίκιον καὶ Κοντάκιον τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.

Ὁ ἐν τῷ Ὄρει τὸ Θαβὼρ μεταμορφωθεὶς Χριστὸς ὁ ἀληθινὸς Θεὸς πρεσβείαις τῆς Παναχράντου αὐτοῦ Μητρὸς προστασίας τῶν ἐπουρανίων Δυνάμεων Ἀσωμάτων τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων Ἀμήν.

---

## ΟΜΙΛΙΑ

### ΕΙΣ ΤΗΝ ΣΕΒΑΣΜΙΟΝ ΤΟΥ ΚΥΡΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΙΝ

***Εὐλόγησον Πάτερ. Δι' εὐχῶν τῶν Ἁγίων.***

Ἐν τῇ φαιδρᾷ ταύτῃ καὶ λαμπρᾷ ἑορτῇ τῆς ἐπισήμου πανυγήρεως τοῦ Σωτῆρος Χριστοῦ θέλω διηγηθῇ ἐν συντόμῳ τὸ ἱστορικὸν τῆς θείας τοῦ Κυρίου Μεταμορφώσεως.

Κοσμοχαρμόσυνον εἰς πᾶσαν τὴν ὑφήλιον. ἡ ἑορτὴ ταύτη. Τοῦ μόνου ἀληθινοῦ Θεοῦ, ἔγεινεν ἡ Μεταμόρφωσίς του ἐν τῷ Ὄρει Θαβώρ.

Ὁ θεάνθρωπος Ἰησοῦς. ἐφανέρωσε τὴν δόξαν του, καὶ ὁ Οὐράνιος αὐτοῦ Πατὴρ τὸν ὡμολόγησεν Υἱὸν τὸν ἠγαπημένον, λέγων. Οὗτος ἐστὶν ὁ ἀγαπητός μου Υἱός, ἐνῷ ηὐδόκησα αὐτοῦ ἀκούετε μαρτυροῦσα αὐτοῦ τὴν θεότητα.

Παραλαμβάνει 3 τῶν προκρίτων Μαθητῶν εἰς τὸ Θαβώριον ὄρος τὸν Πέτρον, τὸν Ἰάκωβον, καὶ τὸν Ἰωάννην, διδάσκων εἰς αὐτοὺς τὰ μέλλοντα αὐτοῦ συμβαίνειν, τὸν Πάθη τὸν Σταυρὸν τὴν Ταφὴν καὶ τὴν ἔνδοξον αὐτοῦ Ἀνάστασιν.

Μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ, τὰ δὲ ἱμάτια ἐγένοντο ὡς ἥλιος ἀστράπτων, μὲ τὰς οὐρανίους ἀκτίνας, ὅπου ἔπεσον χαμαὶ οἱ Ἱεροὶ Ἀπόστολοι ἐκ τοῦ ἀιδίου φωτός.

Μετεμορφώθη εἰς ὄρος ὑψηλόν, ὡς ἐξουσιαστὴς Θεὸς τοῦ σύμπαντος ζώντων τε καὶ νεκρῶν, διδάσκων καὶ εἰς ἡμᾶς πῶς νὰ ὑψώνωμεν τὸν νοῦν μας ἀπὸ τὰς κοσμικὰς ἐπιθυμίας, εἰς τὴν Οὐράνιον δόξαν τοῦ Παναγάθου Θεοῦ.

Ἡ Θεία τοῦ Κυρίου Μεταμόρφωσις, εἰκονίζει καὶ τὴν Δευτέραν τοῦ Κυρίου Παρουσίαν, καὶ τὴν μέλλουσαν Ἀνάστασιν, καθὼς ἔλαμψεν σήμερον ἡ Θεότης τοῦ Ἰησοῦ εἰς τὸ ὄρος Θαβώρ, θὰ λάμψωσιν καὶ οἱ δίκαιοι εἰς τὴν αἰώνιον ζωήν, εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ εἰς τὸν Πανευφρόσυνον Παράδεισον.

Τότε ὤφθη ἡ πάνσεπτος δυάς, τῶν Προφητῶν, Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες τῷ Ἰησοῦ, περὶ τοῦ μέλλοντος αὐτοῦ σωτηρίου Πάθους, ὁ μὲν Μωϋσῆς ἐκ τοῦ Ἅδου, ὁ δὲ Ἠλίας, ὡς ἐκ τοῦ οὐρανοῦ.

Ἐκπληττόμενος ὁ Πρωτοκορυφαῖος τῶν Ἀποστόλων Πέτρος τῇ Θεϊκῇ ἐκείνῃ δόξῃ προτείνῃ τὴν κατασκευὴν 3 σκηνῶν. Σοὶ μίαν, Μωϋσῇ μίαν καὶ Ἠλίᾳ μίαν, ἀλλ' ἰδοὺ ἔρχεται οὐράνιος νεφέλη ἥτις ἐπεσκίασεν αὐτούς, καὶ φωνὴ ἠκούσθη λέγουσα. Οὗτος ἐστὶν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα αὐτοῦ ἀκούετε.

Ἡ ἐμφάνησις τῶν ἱερῶν Προφητῶν δηλοποιεῖ τὸν Κύριον Βασιλέα Οὐρανοῦ καὶ γῆς, καὶ ἐξουσιαστὴν ζώντων τε καὶ νεκρῶν. Ὁ Μωϋσῆς εἶχεν ἀποθάνει πρὶν νὰ σαρκωθῇ ὁ Κύριος, καὶ αὔθωρεῖ παρίσταται ἔμπροσθέν του, καθὼς καὶ ὁ Προφήτης Ἠλίας ὅστις εἶχεν ἀναληφθῇ πρὸ τῆς ἐλεύσεως τοῦ Μεσίου.

Διατὶ δὲν ἐπῆρεν ἄλλους Προφήτας ἀλλὰ τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν, ἕνα ἀπὸ τοὺς ζῶντας, καὶ ἕνα ἀπὸ τοὺς νεκρούς, ὡς ἐξουσιαστὴς ζώντων τε καὶ νεκρῶν, τοῦ θανάτου καὶ τῆς ζωῆς.

Ἡ Ἁγία Μεταμόρφωσις, διατὶ δὲν ἔγεινεν εἰς ἄλλο Ὄρος, ἀλλὰ εἰς τὸ Θαβώριον, διὰ νὰ πληρωθῶσιν τὰ ρητὰ τῶν Προφητῶν, Θαβὼρ καὶ Ἑρμῶν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Εἰς τὸ ὄρος τῆς Γαλλιλαίας, ἔγεινεν ἡ ἐμφάνησις τῆς Ἀναστάσεως τοῦ Κυρίου, εἰς τὸ ὄρος τῶν Ἐλκιῶν, εἰς τὸ Καρμήλιον ἦτο τοῦ Προφήτου Ἠλία, εἰς τὸ Θαβώριον ἦτο προπαρασκευασμένον ἐκ Πνεύματος Ἁγίου, περὶ τοῦ Μυστηρίου τῆς θείας Μεταμορφώσεως.

Διατὶ ἐπῆρε μόνον 3 Μαθητὰς καὶ ἄφησε τοὺς 9. Ἐπειδὴ εἰς ὅλας τὰς κακοπαθείας ναυάγια καταδρομὰς τιμωρίας Πραιτώριον καὶ Σταυρικὸν θάνατον, οἱ ἕτεροι τὸν ἄφησαν μόνον, αὐτοὶ οἱ 3 ἠκολούθησαν ἕως τῆς αὐλῆς τοῦ Πιλήτου, καὶ δεύτερος λόγος, νὰ μὴν ἔχει ἀφορμὴν ὁ Προδότης Ἰούδας πῶς τὸν ἄφησε μόνον, δι' αὐτὸ ἔγεινεν τὸ τοιοῦτον Μυστήριον ἐκ θείας οἰκονομίας, νὰ μὴν εἶναι παρόντες οἱ 9 Ἀπόστολοι καὶ Μαθηταὶ τοῦ Ἰησοῦ.

Οὗτος εἶναι ὁ σκοπὸς τῆς θείας Μεταμορφώσεως, καθὼ ἐπρόλεγε εἰς τοὺς Μαθητάς του. Σὺ Πέτρε, μὲ ὡμολογεῖς Θεόν, καὶ φοβεῖσαι νὰ μὴν ἀποθάνω εἰς χεῖρας τῶν ἀγνομόνων Ἰουδαίων, φροντίζων ὁ Πέτρος νὰ προφυλάξῃ τὸν Κύριον, διὰ νὰ μὴν τὸν φονεύσουν οἱ Ἰουδαῖοι, ἀγαπῶν τὴν ἡσυχίαν, θέλων νὰ κάμῃ 3 σκηνὰς 1 διὰ τὸν Κύριον καὶ διὰ τοὺς Προφήτας, διὰ τὸν ἑαυτόν τους δὲν ἐφρόντιζε παντελῶς, καθότι ἦτο καὶ γέρων εἰς τὴν ἡλικίαν, ἀγαπῶν ὁλοψύχως νὰ μὴ θανατωθῇ ὁ Κύριος.



Σήμερον ὁ Χριστὸς μεταμορφοῦται, καὶ ἡ Ὀρθόδοξος Ἐκκλησία ἀγάλλεται λαμπρῶς πανηγυρίζουσα τὴν λαμπρὰν καὶ ἔνδοξον τοῦ Σωτῆρος Ἁγίαν Μεταμόρφωσιν.

Σήμερον ὁ Χριστὸς μεταμορφοῦται, καὶ ἡ ἐπισκιάζουσα νεφέλη φανεροῖ τὴν δόξαν τοῦ Παρακλήτου ἐνώπιον τῶν Μαθητῶν, καὶ τῶν θείων Προφητῶν, ἐν τῷ ὄρει Θαβώρ.

Σήμερον τῶν Προφητῶν οἱ ἀκραίμονες δουλεπρεπῶς παρίστανται ἐν τῇ φρίκτει τοῦ Λόγου Μεταμορφώσει. Τὸ μυστήριον τῆς Ἁγίας Τριάδος τρανῶς πεφανέρωται Ἄγγελοι θαυμάζουσι ἐν Οὐρανῷ ἄνθρωποι δοξάζουσι ἐπὶ τῆς γῆς.

Σήμερον ὁ Πατὴρ ὡμολογεῖ τὸν Χριστόν, Υἱόν του ἠγαπημένον ἐν τῷ Ὄρει Θαβώρ, ὁ μονογενὴς αὐτοῦ Υἱός, οὗτος ἐστὶν εἰς τὸν κόσμον ἐρχόμενος κρίναι ζῶντας καὶ νεκρούς, δίδων τελείαν τὴν ἐξουσίαν τοῦ δεσμεύειν καὶ λύειν.

Σήμερον καὶ ἡμεῖς οἱ ἀκούσαντες τὴν λαμπρὰν ταύτην ὁμιλίαν ἂς κλίνωμεν γόνυ ἱκετικῶς παρακαλοῦντες τὸν μεταμορφωθέντα Σωτῆρα νὰ μᾶς συγχωρέσῃ ὡς Πανάγαθος Θεὸς τὰς ἁμαρτίας μας ὡς εὔσπλαχνος καὶ Πολυέλεος Πατήρ, καὶ νὰ μᾶς χαρίσῃ πλούσια τὰ ἐλέη του καὶ νὰ μᾶς κάμῃ μετόχους τῆς οὐρανίου του Βασιλείας νὰ δεχθῇ τὴν μετάνοιάν μας τὰ δάκρυα καὶ τοὺς ἀναστεναγμούς, εἰλικρινῶς μετανοοῦντας.

Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ Ὑψίστου, συγχώρησόν μας τοὺς ταπεινοὺς καὶ ἀθλίους καὶ ἁμαρτωλούς, ἄνοιξε τὰς Ἁγίας σου ἀγκάλας, ἵνα δεχθεῖς τὸ πλάσμα σου. Γένοιτο Εὔσπλαχνε Πάτερ Γένοιτο : Ἀμήν.

---

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

**Πρὸς τὴν ἁγίαν καὶ ἔνδοξον Μεταμόρφωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Τῇ Κυριακῇ ἑσπέρας μετὰ τὸν Ἑσπερινόν, Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τό, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, Ψαλ. ΡΜΒ'. Μετὰ τὸν ψαλμὸν δὲ εὐθὺς τό, Θεὸς Κύριος, μετὰ τῶν Στίχων αὐτοῦ ἐξ ἑκατέρων τῶν Χορῶν.

Εἶτα τὰ παρόντα Τροπάρια, Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ τοῦ Σωτῆρος νῦν τεμένει προσδράμωμεν, Μεταμορφώσεως αὐτοῦ καὶ προσπέσωμεν μετ' εὐλαβείας κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποτα βοήθησον σπλαγχνισθεὶς ἐφ' ἡμῖν νῦν, φόβῳ δεομένοις σου, καὶ πταισμάτων τὴν λύσιν, καὶ σωτηρίαν βράβευσον ψυχήν, τῶν σοῦ τιμώντων φρικτὴν Μεταμόρφωσιν.

Δόξα, ἕτερον ὅμοιον.

Οἱ ὑπὸ ὀδύνην χαλεπῶν πιεζόμενοι, καὶ πειρασμῶν ἀλλεπαλλήλων θλιβόμενοι, δεῦτε ναῷ προσπέσωμεν σεπτῷ, τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος βοῶντες, ἐκ πάσης κακώσεως ἐξελοῦ ἡμᾶς Σῶτερ, ταῖς ἱκεσίαις σῆς Μητρός, καὶ τῶν ἐνδόξων καὶ σοφῶν Ἀποστόλων σου.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς μετανοίας Θεοτόκε τὴν τρίβον, ἡμᾶς ἐνίσχυσον ὁδεύειν προθύμως, τοὺς τὴν σεπτὴν Εἰκόνα σου τιμῶντες, εὐλαβῶς, Δέσποινα καὶ λύτρωσαι, ἐκ δεινῶν συμπτωμάτων, πάσης τε κακώσεως, δυσμενῶν ἀοράτων, καὶ ὁρατῶν παντοίων τε δεινῶν, πρὸς σὲ γὰρ πάντως καταφεύγομεν.

Καὶ εὐθὺς τό, Ἐλέησόν με ὁ Θεός, κτλ. Ψαλμ. Ν'. καὶ εἶτα ἀρχόμεθα τοῦ Κανόνος οὗ ἡ Ἀκροστιχίς, κατ' Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις, Ἰακώβους.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός. Ὑγρὰν διοδεύσας.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ἀνύψωσας φύσιν τὴν τῶν βροτῶν, ἀναβὰς ἐν Ὄρει, Θαβωρίῳ θεοπρεπῶς, διὸ τοὺς εἰς βάθη ἐμπεσόντας, ἁμαρτιῶν ἡμᾶς Σῶτερ ἀνάστασον.

Βαράθρων τοῦ Ἅδου ἡμᾶς Σωτήρ, ἀνήγαγες Ὄρει Θαβωρίῳ πρὸ τοῦ Σταυροῦ, μεταμορφωθεὶς τῇ ἀλλειώσει, τῆς σῆς μορφῆς καὶ θεώσεως τὸ πρόσλημμα.

Δόξα.

Γῆθεν ἀνυψώσας τοὺς Μαθητάς, ἔδειξας οἰκτείρμων, τὸ ἀρχέτυπον τῆς μορφῆς, κάλλος ὅπερ πάλαι, ἀπώλεσεν ἡ φύσις, παρακοῇ διὸ ἡμᾶς οἴκτειρον.

Καὶ νῦν. Θεοτοκίον.

Ἱλέωσαι Δέσποινα τὸν ἐκ σοῦ, τεχθέντα Σωτῆρα, δοῦναι ἄφεσιν τῶν κακῶν, ἡμῶν ὧν ἀφρόνως, πράττωμεν καθ' ἑκάστην, ταῖς εὐπαρισιάσταις πρεσβείαις σου.

Ὠδὴ γ'. Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος.

Διαφύλαξον πάντας, τοὺς τὴν φρικτήν Δέσποτα, πόθῳ εὐφημοῦντας



Ἁγίαν σου Μεταμόρφωσιν, εἰς ἀπολύτρωσιν ἁμαρτιῶν καὶ πταισμάτων, καὶ νοσοῦντας ἴασε μόνε φιλάνθρωπε.

Εὐφυμνίους ᾠδάς σοι, πόθῳ πολλῷ Δέσποτα, σῇ Μεταμορφώσει τῇ θείᾳ ᾄδοντες μέλπομεν, εἰς ἐξιλέωσιν πολλῶν πταισμάτων οἰκτείρμων, σῶσον οὖν ὡς εὔσπλαγχνον τοὺς σὲ γεραίροντας.

Δόξα.

Ζωῆς τε καὶ θανάτου, κυριαρχῶν Δέσποτα, Μωσῆν καὶ Ἠλίαν, προφήτας ὄρει παρέστησας, μεταμορφούμενος, πρὸ τοῦ Σταυροῦ σου δεικνύων Μαθηταῖς τὴν ἔγερσιν, τὴν σὴν φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη, ὁλολαμπὴς Ἄνασσα, σὺν τοῖς Ἀποστόλοις, δυσώπει ὃν ἐσωμάτωσας, νόσων καὶ θλίψεων, καὶ πάσης ἄλλης ἀνάγκης, σῶσε τοὺς ὑμνοῦντάς σε Θεοχαρίτωτε.

Διάσωσον. ἀπὸ κινδύνων τοὺς δούλους σου ὦ οἰκτείρμων, ὅτι πάντες πρὸς σὲ ἀεὶ καταφεύγομεν, τὸν μεταμορφωθέντά μου Σωτῆρα.

Θεοτοκίον.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασον τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ Ἱερεύς, δι' οὗ; ἡ Παράκλησις γίνεται· καὶ ἡμεῖς ψάλλομεν τό, Κύριε ἐλέησον, ιε'. Μετὰ δὲ τὴν Ἐκφώνησιν, τὸ ἑπόμενον·

Κάθισμα, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Πολλοῖς ἐν δεινοῖς, κυκλούμενοι οἱ δοῦλοι σου, πρὸς σὲ τὸν ἡμῶν Δεσπότην καταφεύγομεν, ἐκτενῶς δεόμενοι, τῇ θείᾳ σου Μεταμορφώσει, λύτρωσαι δεινῶν τῶν συνεχόντων ἡμᾶς, λιταῖς τῆς τεξάσης σε.

Δόξα. Καὶ νῦν. Θεοτόκιον.

Μετάνοιαν δός, γνησίαν μοι Πανάμωμε, τῶν ἐκ βρεφικῆς, πταισμάτων ἡλικίας μου, καὶ πάντων συγχώρησιν, τελείαν τούτων παράσχου μοι, καὶ τῆς ἐνθέου πολιτείας ἁγνή, ἐπιλαβέσθαι προθύμως ἀξίωσον.

Ὠδὴ δ'. Ὁ Εἱρμός. Εἰσακήκοα Κύριε.

Ἡ φρικτὴ Μεταμόρφωσις, θείους Μαθητάς σου, χαρᾶς ἐνέπλησε, Θεὸν εἶνε σὲ γνωρίσαντες, Οὐρανοῦ καὶ γῆς κυριεύοντα.

Θαυμαστὴ ὄντως πέφηνεν, ἡ σεπτὴ καὶ θεία σου Μεταμόρφωσις, ὥσπερ ἥλιος γὰρ ἐξέλαμψεν, ἡ μορφή σου Λόγε ἐξαστράπτουσα.

Δόξα.

Ἰδοὺ Σῶτερ ἐβόησεν, Μωϋσῆς Ἠλίας τε οἱ Ἀπόστολοί σου, ὃν ἡμεῖς προκατηγγείλαμεν, τοῦ ἐλθεῖν καὶ σῶσαι τὸ ἀνθρώπινον.

Καὶ νῦν. Θεοτοκίον.

Καθαρὸν ἐνδιαίτημα, μόνη σὺ ἐφάνης Κόρη, τοῦ Κτίστου σου, ὃν δυσώπει ὡς φιλάνθρωπον, τοῦ σωθῆναι τοὺς τιμῶντάς σε.

Ὠδὴ ε'. Ὁ Εἱρμός. Φώτισον ἡμᾶς.

Κράτος καὶ ἰσχύν, Ἰησοῦ ἡμᾶς περίζωσον, καὶ τὰ πάθη ἡμῶν νέκρωσον, τῇ φρικτῇ Σωτήρ, Μεταμορφώσει σου.

Λάμψον καὶ ἡμῖν, σοῦ τὸ φῶς τὸ ἐνυπόστατον, ἱκεσίαις Σωτὴρ τῶν πανσόφων Μαθητῶν καὶ τῆς Τεκούσης σε.

Δόξα.

Μέγα καὶ φρικτόν, καὶ παράδοξον μυστήριον, ἐν τῷ Ὄρει οἱ Ἀπόστολοι ἐθεάσαντο Σωτῆρα μεταμορφούμενον.

Καὶ νῦν. Θεοτοκίον.

Ὅταν σοῦ Χριστέ, τοῦ φρικώδους μνησθῶ Βήματος, φόβῳ καὶ τρόμῳ συσχεθεὶς ἐκβοῶ, φεῖσαί μου Σῶτερ, ἱκεσίαις τῆς Τεκούσης σε.

Ὠδή, στ'. Ὁ Εἱρμός. Τὴν δέησιν ἐκχεῶ.

Τοῦ νόμου τοῦ προεξάρχοντος, Σῶτερ Μωϋσῆν καὶ Ἠλίαν, καὶ τοὺς προκρίτους, τῶν Μαθητῶν, ἐν τῷ Ὄρει Θαβὼρ σου, αἴγλῃ προσώπου ἀστραπῆς σου ἐξέστησαν, καὶ ἤκουον ἄνωθεν Πατρὸς βεβαιοῦντος Χριστοῦ τὴν Υἱότητα.

Ξενίζει βροτῶν διάνοιαν πᾶσαν, Ἀγγέλων σου τὸ ξένον Σωτήρ μου, τὸ τῆς μορφῆς ἀστραπόμορφον εἶδος, ὃ ἐν τῷ Ὄρει Θαβὼρ καθυπέδειξας, πιστούμενος τοὺς μαθητάς, ὅτι σὺ εἶ τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Δόξα.

Οἱ τρεῖς σου τῶν Μαθητῶν ἰδόντες, Μωϋσῆν καὶ Ἠλίαν ὀφθέντες καὶ συλλαλοῦντας τῆς ἐξόδου σου Λόγε τὰ συμβησόμενα, φόβῳ συνείχοντο, καὶ ἐκπληττόμενοι ἄνωθεν ἤκουον, τοῦ Πατρὸς μαρτυροῦντός σου τὴν Υἱότητα.

Καὶ νῦν. Θεοτοκίον.

Βασίλισσαν ὁ Δαβὶδ σε Παρθένε, προηγόρευσεν τεκοῦσαν τὸν Λόγον, Δημιουργὸν Βασιλέα καὶ Κτίστην, καὶ Ποιητὴν τῶν αἰώνων καὶ Κύριον, ἀνάδειξον οὖν δέομαι κἀμὲ βασιλέα παθῶν τὸν τιμῶντά σε.

Διάσωσον, ἀπὸ κινδύνων καὶ πάσης ἀνάγκης, τοὺς τιμῶντας σὴν Μεταμόρφωσιν Σῶτερ· ἄλλον γὰρ πλήν σου Θεὸν οὐ γινώσκωμεν, ῥυόμενον ἐκ φθορᾶς καὶ θανάτου.

Θεοτοκίον.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.



Ὁ Ἱερεὺς μνημονεύει, ὡς δεδήλωται.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, Κοντάκιον, Ἦχος β'. Προστασία τῶν.

Ὡς Θεὸν καὶ Σωτῆρα σὲ ἔχοντες, μέγιστον καὶ ἐν πᾶσι δεινοῖς βοηθὸν ἡμῶν ἕτοιμον, σὲ ἱκετεύομεν θερμῶς, Ζωοδότα Ἰησοῦ συμπάθειάν σου σεπτήν, ἐφ' ἡμῖν ἐνδεξάμενος, σῶζε ἐκ τῶν κινδύνων, δεινῶν τε πειρατηρίων, καὶ τῶν ἐχθίστων τε ἐχθρῶν, τοὺς πιστῶς ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

Εἶτα, τὸ Α'. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ β'. Ἤχου.

Προκείμενον. Ἦχος δ'. Θαβὼρ καὶ Ἑρμών, ἐν τῷ ὀνόματί σου, ἀγαλλιάσονται.

Στίχος. Σοὶ εἰσὶν οἱ Οὐρανοί, καὶ σὴ ἐστιν ἡ γῆ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

***Ἐκ τοῦ κατὰ Λουκᾶν.*** (Κεφ. θ'. 28—36)

Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, καὶ ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι Αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας, οἵ, ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον Αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος, καὶ οἱ σὺν αὐτῷ, ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δέ, εἶδον τὴν δόξαν Αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας Αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' Αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν, Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοι, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην. Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε». Καὶ ἐν τῷ γενέσθαι τὴν φωνήν, εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασι.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Δόξα. Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων. Καὶ νῦν. Θεοτοκίον.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος, πλ. β΄.

Λάμψας ὑπὲρ ἥλιον, τοῦ σοῦ προσώπου τὴν θείαν, τὴν ἀμαυρωθεῖσάν μου, φύσιν κατελάμπρυνας, καὶ ἐθέωσας, τὰ ἡμῶν πταίσματα, ὡς Δεσπότης πάντων συγχωρήσας ὑπεράγαθε· διὸ δεόμεθα, λάμψον φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν, καὶ λύτρωσον κολάσεως τῆς αἰωνιζούσης τοὺς δούλους σου, τοὺς μετ᾽ εὐλαβείας τιμῶντας τὴν σεπτήν σου καὶ φρικτήν, καὶ ἔνδοξον Μεταμόρφωσιν, μόνε πολυέλεε.

Δέξαι μου τὴν δέησιν, Θεομῆτορ Μαρία, καὶ μὴ ἀπορρίψῃς με, ἀπὸ τοῦ προσώπου σου τὸν ἀνάξιον· ὡς οὐδεὶς ἄλλος γάρ, ἐπὶ γῆς Πάναγνε, ἐν ἀνθρώποις ἐπλημμέλησα· διὸ τὴν θείαν σου, χάριν ἐξαιτῶ ὁ πανάθλιος· προφθάσασά με οἴκτειρον, νῦν ὀδυνηρῶς συνεχόμενον· καὶ μή με εἰς τέλος, ἐάσῃς κινδυνεύειν τὸν εἰς σὲ μόνην ἐλπίσαντα Δέσποινα, πάντων τὸ διάσωσμα.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν Λαόν σου, κλπ. Κύριε ἐλέησον, ιβ΄. Μετὰ δὲ τό, Ἐλέει καὶ οἰκτιρμοῖς, ἀποπληροῦμεν τὰς λοιπὰς

Ὠδὰς τοῦ Κανόνος.

Ὠδή, ζ΄. Ὁ Εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας.

Προσκυνοῦμεν ἐκ πόθου, καὶ τιμῶμεν τὴν θείαν σου Μεταμόρφωσιν, Σωτήρ, δι᾽ ἧς ἡ φύσις, τῶν ἀνθρώπων ὑψώθη, εἰς ἀρχέτυπον, ὁ τῶν Πατέρων βοῶ σοι Θεὸς εὐλογητὸς εἶ.

Ῥητορεύουσα γλῶσσα, μεγαλεῖα τὰ σὰ οὐ δύναται φθέγξασθαι, Μωσῆν γὰρ καὶ Ἠλίαν, συμπαρέστησας, Σῶτερ, μεταμορφούμενος, ἀναβοῶντας πρὸς σὲ Θεὸς εἶ Παντοκράτωρ. Δόξα.

Συνανῆλθέ σοι Λόγε, Μαθητῶν ἡ ἀκρότης, ἐπὶ τὸ Ὄρος Θαβώρ, καὶ τὸ ἀρχέτυπόν σοι ἐν τῷ πλάσματι κάλλος, καθυπέδειξας, τοῖς ἀεὶ σοὶ κραυγάζουσι, ὁ Θεὸς εὐλογητὸς εἶ

Καὶ νῦν. Θεοτοκίον.

Ὁ τῶν ὅλων Δεσπότης, ἐκ γαστρός σου προῆλε, Παρθένε Ἄχραντε, καὶ ἔσωσε τὸν Κόσμον, ἐκ τῆς πλάνης, εἰδώλων καὶ τὴν φύσιν ἐθέωσε, ὃν ἐκδυσώπει, Ἁγνή, σῶσαι τοὺς σὲ ὑμνοῦντας.



Ὠδὴ η΄. Ὁ Εἱρμός. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Τὸν ἐν Ὄρει Θαβωρίῳ Σωτῆρα, μεταμορφωθέντα ἀνυμνοῦμεν, δι᾽ οὗ εἰς ὕψος ἤρθη τὸ ἀνθρώπινον, καὶ ἀνεκαινίσθη ἡ βρότειος οὐσία.

Ὑπερεκβλύζει τοῖς ἐπιοῦσι, τὴν χάριν καὶ ἀποπνέει μυρεψικὴν εὐωδίαν, Εἰκὼν ἡ θεία τῆς μεταμορφώσεως, καὶ ἀσπαζομένη, παρέχει τὰς ἰάσεις. Δόξα.

Φαίνει ἐν Κόσμῳ, καὶ δαδουχεῖ τὰς ἀκτῖνας ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος, καὶ ἐπανάγει κάλλος τὸ ἀρχέτυπον, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν. Θεοτοκίον.

Ὑπερφυῶς τὸν Δημιουργόν, καὶ Σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε, ὃν σὺν Ἀσωμάτοις βροτοὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδή, η΄. Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Χαρᾶς καὶ εὐφροσύνης, τὰς ἡμῶν καρδίας, πληροῖ Σωτήρ, ἡ θεία σου Μεταμόρφωσις, ἣν ἀνυμνοῦντες ἐκ πόθου, σὲ μεγαλύνωμεν.

Ψαλμοῖς ᾠδαῖς καὶ ὕμνοις, μέλψωμεν ἀξίως, ὑμνολογοῦντες σεπτὴν Μεταμόρφωσιν τὴν τοῦ Σωτῆρος ἐκ πόθου, ὃν μεγαλύνομεν. Δόξα.

Ὤφθης δι᾽ εὐσπλαγχνίαν, ἄνθρωπος Σωτήρ μου, ἵνα θεώσῃς φθαρέντα τὸν ἄνθρωπον· διὸ τὴν σὴν Μεταμόρφωσιν μεγαλύνομεν.

Καὶ νῦν. Θεοτοκίον.

Σωμάτων ἀλγηδόνας, καὶ ψυχικὰς νόσους, ἀπὸ τοὺς δούλους σου Κόρη ἀπέλασον, τῶν προστρεχόντων τῇ θείᾳ σκέπῃ σου.

Καὶ εὐθὺς τό, Ἄξιόν ἐστιν ὡς ἀληθῶς.

Καὶ θυμιᾷ ὁ Ἱερεὺς τὸ Θυσιαστήριον, καὶ τὸν λαόν, ἢ τὸν οἶκον, ὅπου ψάλλεται ἡ Παράκλησις· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Μεγαλυνάρια.

Θέλων δεῖξαι Σῶτερ τοῖς Μαθηταῖς, τῆς θεότητός σου, τὴν λαμπρότητα ἀμυδρῶς, ἐν Ὄρει ἀνῆλθες, Χριστὲ τῷ Θαβωρίῳ, καὶ λάμψας τῷ προσώπῳ, τούτους ἐξέστησας.

Τὴν ἀμαυρωθεῖσα φύσιν ἡμῶν, ηὔγασας ἐν Ὄρει Θαβωρίῳ τῷ θαυμαστῷ, μεταμορφωθεὶς γάρ, ἐπὶ τῶν Μαθητῶν σου, ὥσπερ ἥλιος ἀστράψας, τούτους ἐξέστησας.

Φαίδρυνον ἁγίασον τοὺς πιστῶς, τιμῶντάς σου Σῶτερ, Μεταμόρφωσιν τὴν φρικτήν, καὶ ῥῦσαι κινδύνων, καὶ πασης ἄλλης βλάβης, ἡμᾶς τοὺς σοὺς οἰκέτας ὡς πολυέλεος.

Δεῦτε προσκυνήσωμεν εὐλαβῶς, τὴν σεπτὴν Εἰκόνα, τοῦ Σωτῆρος τὴν θαυμαστήν, καὶ θεοπρεπεστάτην, τοῦ μεταμορφωθέντος, χάριν δαψιλεστάτην, ἀπαρυόμενοι.

Χάρις νῦν δωρεῖται παρὰ Θεοῦ, ἡμῖν τοῖς τιμῶσι, τοῦ Δεσπότου τὴν θαυμαστήν, Εἰκόνα τὴν θείαν, αὐτοῦ τῆς παμενδόξου, φρικτῆς καὶ ἐξαισίου Μεταμορφώσεως.

Βρύει ῥῦσιν σώματος καὶ ψυχῆς, ὁ Ναὸς ὁ θεῖος, τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ διώκει πάθη, τοῦ μεταμορφωθέντος χάριτι καὶ δυνάμει, τῶν πίστει προσιόντων αὐτῷ.

Ὕψωσον τὸ κέρας Χριστιανῶν, βράβευσιν εἰρήνης, Ἐκκλησίας σου Ἰησοῦ, φεῖσαι τῶν πταισμάτων, ἡμῶν ὧν πλημμελοῦμεν, τῇ θείᾳ καὶ ἐνδόξῳ μεταμορφώσει σου.

Δεῦτε οἱ ἐν νόσοις παντοδαπαῖς, καὶ οἱ ἐν κινδύνοις, συνεχόμενοι χαλεποῖς, δράματα ἐν τούτῳ τῷ ἱερῷ Τεμένει, τοῦ μεταμορφωθέντος, Χριστοῦ καὶ ἰαθήσεσθαι.

Ταῖς πρεσβείαις Σῶτερ τοῦ Βαπτιστοῦ, Ἀγγέλων τῶν θείων, Ἀποστόλων τῶν ἱερῶν, Ἁγίων ἁπάντων, καὶ σῆς Μητρὸς Παρθένου, διάσωσον καὶ ῥῦσαι ἐκ τῆς φρικτῆς κολάσεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσετε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ τροπάρια ταῦτα. Ἦχος, πλ. β'.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, Ἐλέησον ἡμᾶς. Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα. Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς ὁ Θεός, κτλ.

Καὶ μνημονεύσας πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται, ποιεῖ τὴν Ἀπόλυσιν.

Μετ' αὐτὴν δέ, ἐν ὅσῳ οἱ ἀδελφοὶ ἀσπάζονται τὴν Εἰκόνα τῆς θείας Μεταμορφώσεως, ψάλλονται τὰ παρόντα Τροπάρια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε μετὰ πόθου καὶ χαρᾶς, καὶ μετὰ πολλῆς εὐλαβείας, κατασπασώμεθα, Εἰκόνα τὴν πάντιμον, καὶ χαριτόβρυτον, τὴν τῆς Μεταμορφώσεως, Χριστοῦ τοῦ Σωτῆρος, τὴν χαριτοβρύουσαν, τοῖς προσιοῦσιν αὐτῇ, ἥνπερ προσπτυσσόμενοι πόθῳ, χάριν ἀρυόμεθα πάντες, τὸν Σωτῆρα Κύριον δοξάζοντες.



Δέξαι τὴν ἱκέσιον ᾠδήν· δέξαι μου τὸν θρῆνον Παντάναξ· δέξαι τὴν δέησιν· δέξαι μου τὰ δάκρυα, καὶ στεναγμὸν τῆς ψυχῆς, καὶ τὸν θρῆνον ἀφάνισον· τὰ δάκρυα παῦσον· πάντα μεταρρύθμισον τὰ λυπηρὰ εἰς χαράν· δίδου τῷ τὴν σὴν ἐκζητοῦντι, θείαν προστασίαν καὶ σκέπην, καὶ πταισμάτων ἄφεσιν Φιλάνθρωπε.

Στῆσον πεπτωκότα με δεινῶς· καὶ καταρραγμένον εἰς χάος καὶ βυθιζόμενον· πρόφθασον καὶ ῥῦσαί με τῆς νῦν κακώσεως, Ποιητά μου Φιλάνθρωπε, καὶ μὴ καταισχύνῃς, μηδὲ ἀπορρίψῃς με ἀπὸ προσώπου τοῦ σοῦ. Σὺ γὰρ εἶ Θεός μου καὶ Πλάστης, Κτίστης καὶ Σωτήρ μου Χριστέ μου, Δέσποτα τοῦ Κόσμου μὴ παρίδῃς με.

Θεοτοκίον.

Ἆρόν σου τὰς χεῖρας ἀγαθή, πρὸς τὸν σὸν Υἱὸν καὶ μαστούς σου, οὕς περ ἐθήλασε, δεῖξον καὶ σπαργάνων τε, τοῦτον ὑπόμνησον· τὰ ἐκείνου ἀνάμιξον, τοῖς σοῖς Θεοτόκε, τὸν Σταυρόν, τοὺς ἥλους τε, τὴν λόγχην αἵματα, τραύματα, καὶ ἅπαντα πάθη· καὶ οὕτως ἱλέωσον τοῦτον, ἐφ' ἡμῖν καὶ ῥῦσαι τῆς κολάσεως.

Καὶ τό: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων. Καὶ τέλος.

---

Ἐξαποστειλάρια ψαλλόμενα ἀπὸ τῆς α'. Αὐγούστου, ἄχρι τῆς θείας Μεταμορφώσεως.

Ἦχος, γ', Ἀπόστολοι ἐκ περάτων.

Ἀπόστολοι καὶ Προφῆται, καὶ κλῆτος πάντων Ἁγίων, τὴν ἔνδοξον τοῦ Σωτῆρος, Μεταμόρφωσιν θείαν, μετ' Ἀγγέλων ὑμνοῦσι, δοξολογοῦντες ἀπαύστως.

Οὐράνιοι Στρατηγίαι, συναθροισθεῖσαι ἐν Ὄρει τῷ Θαβωρίῳ βοῶσι, Χριστῷ μεταμορφουμένῳ, Θεὸς ἡμῶν οὗτος πέλει, ὁ προαιώνιος Λόγος.

Ὅταν φανεῖς μετὰ δόξης, ἐξ Οὐρανοῦ καὶ Δεσπότης, τοῦ κρῖναι πάντας ἀνθρώπους, ἀξίωσον ἀπαντῆσαι, ἐν ταῖς νεφέλαις ἀέρων, Σὲ τὸν Σωτῆρα καὶ Κτίστην.

---

Πέρας τόδε εἴληφε συνάρσει θείᾳ.
Θεῷ δὲ δῶμεν δόξα τῷ ἐν Τριάδι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Εὐχὴ εἰς τὴν Θεοτόκον

Δέσποινα, πάντων Δέσποινα, καὶ πάντων ἀνωτέρα.
Καὶ πάντων ὑπερέχουσα τῶν ἄνω στρατευμάτων.
Ἄνασσα, πάντων Ἄνασσα, Μητροπάρθενον κλέος.
Τὸ στήριγμα τῶν εὐσεβῶν, τὸ φῶς τῆς Οἰκουμένης.
Ἡ προστασία τῶν πιστῶν, ἡ Γέφυρα τοῦ κόσμου
Τῶν ἀποστόλων, ἡ χαρά, καὶ τῶν Ἀγγέλων δόξα.
Τῶν Προφητῶν ἡ καλλονή, καὶ τῶν δικαίων πάντων.
Ὁσίων τὸ ἀγλάϊσμα, Ἁγίων ἡ ἐλπίδα.
Ὁ Πύργος ὁ χρυσόπλοκος, ἡ πόλις ἡ Ἁγία.
Θρόνε ἡλιοστάλακτε, καθέδρα Βασιλέως.
Ἄσπιλε Παμμώμητε, Ἄφθορε Παναγία.
Ἀπηλπισμένων ἡ ἐλπίς, καὶ θάλασσα πλεόντων.
Ἀδικουμένων βοηθός, καὶ τῶν Ὁσίων πάντων.
Αἰνοῦμεν, εὐλογοῦμεν σε καὶ πάντες προσκυνοῦμεν.
Ἔκτεινον χεῖρα κρατεάν, καὶ φύλαξον τὸν κόσμον.
Τοὺς Ἱερεῖς εὐλόγησον, τοὺς σὲ ἱερουργοῦντας.
Τοὺς μοναχοὺς ἐλέησον, τοὺς σὲ ὑμνολογοῦντας.
Τοὺς εὐσεβεῖς Χριστιανούς, τοὺς σὲ παρακαλοῦντας.
Τοὺς ἀσθενεῖς θεράπευσον, ἐν ὥρᾳ τοῦ θανάτου.
Τοὺς βασιλεῖς εἰρήνευσον τοὺς ἐν τῷ παλατίῳ.
Τοίνον ἡμᾶς ἀξίωσον, ἰδεῖν τὴν Βασιλείαν.
Τὴν Βασιλείαν Οὐρανῶν, καὶ θύραν Παραδείσου.
Ἄσωμε πάντες ἄσωμεν, ὕμνον τῇ Θεοτόκῳ.
Βάτον τὴν ἀκατάφλεκτον, Στάμνον τὴν Παναγίαν.
Τὸν γλυκερὸν Παράδεισον, τὴν ἄσπιλον Παρθένον.
Ὑπὸ Δαυΐδ καὶ Ἰεσαί, Ἰωακεὶμ καὶ Ἄννης.
Ἐφάνη νέος Οὐρανός, καὶ νέα Βασιλεία,
Καὶ τριφεγγὴς Ἀνατολή, καὶ θύρα Παραδείσου.
Τὴν Γέννησίν σου προσκυνῶ, τὸν τόκον σου δοξάζω.
Καὶ Σὲ Ἁγία Δέσποινα, ὑμνῶ καὶ προσκυνῶ σε.
Ψάλλε Δαυΐδ ψάλλε Μωϋσῆ, ψάλλατε ὦ Προφῆται.
Ψάλλε καὶ σὺ Ἰάκωβε, καὶ ἀδελφὲ Κυρίου.
Χάλλε καὶ σὺ Παράδεισε, μετὰ τῶν ἀρχαγγέλων.
Ὅτι ἐφάνη σήμερον, ἡ σοῦ Ἁγιωτέρα.
Καὶ Πλατυτέρα Οὐρανῶν, ὑπερκαθαρωτέρα.
Ὅταν καθήσῃ ὁ Κριτής, κρινεῖν τὴν Οἰκουμένην.
Τότε ἡμᾶς βοήθησον, Δέσποινα Θεοτόκε.



7. Τῶν Ἁγίων Ὁσιομαρτύρων Δομετίου Νικάνορος καὶ Θεοδοσίου.

### Ἀπολυτίκιον καὶ Κοντάκιον

### τῆς Μεταμορφώσεως Ἁγ. Νικάνορος. Ἦχος Γ΄.

Νίκην εἴληφας, ἄφθαρτον στέφος, Πάτερ Ὅσιε, παρὰ τοῦ Κτίστου, τῶν σῶν ἀγώνων ἀντάξιον ἔπαθλον· τὴν γὰρ πατρίδα λοιπὴν τὴν ἐπίγειον, τῆς οὐρανίου οἰκήτωρ γεγένησαι· ὅθεν πάντες σε, πίστει καὶ πόθῳ γεραίρωμεν, χαίροις Νικάνωρ, ὁσίων ὁμόσκηνε.

### Ἀπολυτίκιον Ὁσίου Θεοδοσίου. Ἦχος Γ΄.

Τὸν ὁμώνυμον Θεοδοσίου, καὶ ὁμότροπον ἀναδειχθέντα, τὸν ἐν ἐσχάτοις τοῖς χρόνοις ἀναφανέντα ἀστέρα τοῖς θαύμασιν ἄδυτον, θαυματουργόν, καὶ ἰαματικόν, Νέον Θεοδόσιον, εὐσεβοφρόνως, ὑμνήσωμεν λέγοντες, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Ἕτερον Ἀπολυτίκιον. Ἦχος Α΄.

Τὸν γόνον Ἀθηναίων, καὶ Ἀργείων τὴν δόξαν, τὸν νέον Θεοδόσιον καταστέψωμεν νῦν ὕμνοις, νέοις βοῶντες ἐκ πόθου πρὸς αὐτόν. Ὁσίων χάρμα καὶ εὐπρέπεια, παράσχου τὴν σὴν χάριν ἅπασι, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου καὶ κραυγάζουσιν ἐκ βαθέων· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ θαυμαστώσαντι· δόξα τῷ σὲ ἰαμάτων πηγὴν ἀναδείξαντι.

### Κοντάκιον Ἁγίου Νικάνορος. Ἦχος Δ΄. Ἐπεφάνης.

Ἰατρεῖον ἄμισθον ἡ Οἰκουμένη, τῶν Λειψάνων Ὅσιε, τὴν ἱεράν σου καὶ σεπτήν, θήκην Νικάνορ ἐκτήσατο, ὅθεν ἀξίως τιμῶμεν τὴν μνήμην σου.

### Κοντάκιον Ὁσίου Θεοδοσίου. Ἦχ. Γ΄. Ἡ Παρθένος σήμερον.

Ἑορτάζουσι σήμερον, οἱ Ναυπλιεῖς καὶ Ἀργεῖοι, ἑορτὴν χαρμόσυνον, τῆς φωτοφόρου σου μνήμης, ἅπασαν Πελοπόννησον προσκαλοῦσαι, χαίρουσι γὰρ ὡς κεκτημέναι, τὸν πανέντιμόν σου τάφον, Θεοδόσιε, θεόφρων ὅσιε.

### Μεγαλυνάριον Ἁγίου Νικάνορος.

Φύλαττε Νικάνορ τοὺς ὑμνητάς, καὶ προσκυνητάς σου, τοὺς τιμῶντας τὴν σεπτήν, μάκαρ Σιαγόνα, καὶ λύτρωσαι κινδύνων, καὶ πάσης ἐπηρείας ἡμᾶς τοὺς δούλους σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

«Ἀκολουθία Ἁγ. Νικάνορος 1888. Ἁγ. Θεοδοσίου Ναύπλιον 1888».
8. Ἁγίου Αἰμιλιανοῦ Ἐπ. Κυζίκου καὶ Ἁγ. Μύρωνος.

Ἀπολυτίκιον Ἁγ. Αἰμιλιανοῦ. Ἦχος Δ΄.

Μαρτύρων ὁμότροπος, Ἱεραρχῶν καλλονή, ὁσίων ἀγλάϊσμα, Ὀρθοδοξίας φωστήρ, Αἰμιλιανὲ πανσεβάσμιε· ἤλεγξας τοῦ τυράννου, τὴν ἀντίθεον πλάνην, ἄνωθεν ἀξιώθης τῶν στεφάνων τῆς νίκης, καὶ νῦν πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἁγίου Μύρωνος Ἀπολυτίκιον Ἦχος Γ΄.

Μέγας ἥλιος ἐν Κρήτῃ Πάτερ, ἀνατέταλκας, θαυμάτων πλήθη, καταφωτίζων αὐτὴν ἱερώτατε· ὡς οὖν ὁρμὴν ποταμοῦ διεκώλυσας, καὶ τὸν ὀλέθριον δράκοντα ἐλίθωσας· οὕτως Ἅγιε Χριστῷ, θεῖε Μύρων πρέσβευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα ἕτερον Ἁγίου Μύρωνος. Ἦχος Δ΄. Ταχὺ προκατάλαβε.

Προστάτης καὶ πρόμαχος, τοῦ σοῦ ποιμνίου σοφέ, καὶ τεῖχος καὶ καύχημα τῆς νήσου Κρήτης σαφῶς, ἐδείχθης θεόληπτε. εὔφρανας ὀρθοδόξων, τὰς χορείας τρισμάκαρ, ἔπλησας Κρήτην πᾶσαν, τῶν πολλῶν σου θαυμάτων, διὸ ὑπὲρ ἡμῶν τὸν Χριστόν, Μύρων ἱκέτευε.

Κοντάκιον Ἁγίου Αἰμιλιανοῦ. Ἦχος Γ΄. Ἡ Παρθένος.

Ἐν Κυζίκῳ Ἅγιε, ἱερουργὸς ἀνεδείχθης, τοῦ Χριστοῦ τὸ ποίμνιον, ἐν εὐσεβείᾳ ἐκθρέψας· τούτου γοῦν διαφυλλάτων ἐκ τῶν κινδύνων, φρούρει τε καὶ σκέπε πάντας τὰς ἀνυμνοῦντας, εὐσεβῶς καὶ ὀρθοδόξως Τριάδα μίαν, δημιουργὸν τοῦ παντός.

Κοντάκιον Ἁγίου Μύρωνος Ἦχος πλ. Δ΄. Τῇ ὑπερμάχῳ.

Τῇ ὑπερμάχῳ καὶ ἐνθέρμῳ προστασίᾳ σου, οἱ Κρῆτες Πάτερ, εὐλαβῶς προσκαταφεύγωμεν, ἀνυμνοῦντες σε θεόφρον, καὶ δυσωποῦντες. Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς τὸν Κύριον, ἐκ κινδύνων ἡμᾶς, παντοίων ἀπολύτρωσαι. Ἵνα κράζωμεν, χαῖρε Μύρων τρισόλβιε.

Μεγαλυνάρια. Ἁγίου Αἰμιλιανοῦ.

Τὸν εἰκονομάχων τὸν νικητήν, καὶ Ὀρθοδοξίας, κραταιὸν ὁμολογητὴν τὸ ἐν Ἱεράρχαις ὑπέρλαμπρον φωστῆρα, τὸν πρόεδρον Κυζίκου, πάντες τιμήσωμεν.

Μεγαλυνάριον Ἁγίου Μύρωνος.

Μύρωνα νῦν πάντες τὸν ἰατρόν, ψυχῶν καὶ σωμάτων εὐφημήσωμεν οἱ πιστοί. Χαίροις ἱεράρχα τῆς νήσου Κρήτης, περίσωζε τοὺς πίστει σε μεγαλύνοντας.



«Ἀκολουθία Ἁγ. Αἰμιλιανοῦ Κωνσταντινούπολις 1876.
Ἁγ. Μύρωνος Ἀθῆναι 1877».

9. Τοῦ Ἁγίου Ἀποστόλου Ματθία καὶ Ἁγίας Πατρικίας

Ἀπολυτ. Ἦχος Δ.΄

Τοῦ ἀνθρωποκτόνου ἑκουσίως, θῦμα γενόμενος, καὶ χοροῦ δωδεκάδος, ἀπορυφεὶς Ἰούδας ὁ δόλιος· τὸ Πνεῦμα τὸ Ἅγιον, Ματθία σὲ ἐξελέξατο, τῶν Ἀποστόλων χορὸν συνεπλήρωσε, καὶ πρώτιστον Αἰθιοπίας ἀνέδειξε κήρυκα, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρούμενον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα Ἁγίας Πατρικίας Ἦχος Δ΄.

Ἡ ἀμνάς σου Ἰησοῦ κράζει μεγάλῃ τῇ φωνῇ. Σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σοῦ σοι· ἀλλ' ὡς θυσίαν ἄμωμον προσδέχου τὴν μετὰ πόθου τυθεῖσαν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον Ἀποστόλου Ματθία Ἦχος Δ΄. Ἐπεφάνης σήμερον.

Φωταυγὴς ὡς ἥλιος εἰς πάντα κόσμον, ἐξελθὼν ὁ φθόγγος σου, καταφωτίζει τῶν ἐθνῶν, τὴν Ἐκκλησίαν ἐν χάριτι, θαυματοφόρε Ματθία Ἀπόστολε.

Κοντάκιον Ἁγίας Πατρικίας Ἦχος Δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ ἀθλοφόρε, τὰ τῶν εἰδώλων ἔλιπες σεβάσματα· μέσον δὲ τοῦ σκάμματος ἐναθλοῦσα πατρικία, τυράννων οὐ κατέπτυξας, ἀπειλὰς ἀνδρειόφρων, μεγαλοφώνως μέλπουσα ἀεὶ Τριάδα σέβω τὴν μίαν Θεότητα.

Μεγαλυνάρια.

Στύλος εὐσεβείας ἀκλόνητος, κανὼν ἀληθείας, ἀνεδείχθης λαμπρότητος, Ἀπόστολε Ματθία, σὺ γὰρ μέγα κλέος ὤφθης, τῶν Ὀρθοδόξων πάντων προστάτης μέγιστος.

Λύτρωσαι σοὺς δούλους ἐκ τῶν δεινῶν, Μάρτυς ἀθλοφόρε, τῶν τοῦ σώματος καὶ ψυχῆς, καὶ ῥῦσαι κινδύνων, ταῖς σαῖς πρεσβείαις, τοὺς πόθῳ σε καὶ πίστει ἀεὶ γεραίροντας.

«'Ακολουθία 'Αγίας Μαρίας τῆς Πατρικίας 'Αθῆναι 1705».

10. Τοῦ 'Αγίου μάρτυρος Λαυρεντίου.

'Απολυτίκιον. Ἦχος Δ'.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Πυρὶ θεϊκῷ φλεχθεὶς τὴν καρδίαν σου, τὸ πῦρ τῶν παθῶν, εἰς τέλος ἀπετέφρωσας, ἀθλητῶν ἑδραίωμα, Θεοφόρε μάρτυς Λαυρέντιε, καὶ ἐν ἄθλοις ἐβόας πιστῶς οὐδὲν μὲ χωρήσει τῆς ἀγάπης Χριστοῦ.

Μεγαλυνάριον. Τῆς Μεταμορφώσεως.

Τὴν τῶν 'Αποστόλων καὶ Μαθητῶν, ἀκρότητα Σῶτερ, συμπαρέλαβες ἐν Θαβώρ, καὶ ἔμπροσθεν τούτων, λαμπρῶς μετεμορφώθης, ἀκτῖσι καταυγάζων αὐτοὺς δυνάμεως».

11. Τοῦ 'Αγίου μάρτυρος Εὔπλου καὶ 'Αγ. Σπυρίδωνος ἡ 'Ανακομιδή.

'Απολυτίκιον τοῦ μάρτυρος Ἦχος Δ'. Ὁ Μάρτυς σου Κύριε. Καὶ τοῦ 'Αγίου Ἦχος Δ'.

Ὡς τῶν ὀρθοδόξων ὑπέρμαχον, καὶ πάντων τῶν ἀπίστων ἀντίπαλον, παμμακάριστε Σπυρίδων ὑμνοῦμέν σε, καὶ δυσωποῦμέν σε, φυλάττειν τὴν πόλιν, πάσης ὁρμῆς βαρβάρων ἀμέτοχον.

Κοντάκιον 'Αγίου Εὔπλου Ἦχος Α'. Χορὸς ἀγγελικός.

Τοὺς νόμους τοῦ Χριστοῦ, ἐν χερσὶ περιφέρων, ἐπέστης ἐκβοῶν τοῖς ἐχθροῖς ἐν σταδίῳ. Αὐτόκλητος πάραμι, ἐναθλήσων στερρότητα, ὅθεν κλίνας σου περιχαρῶς τὸν αὐχένα, ὑποδέδεξαι, τὴν ἐκτομὴν τὴν τοῦ ξίφους τελέσας τὸν δρόμον σου.

Κοντάκιον 'Αγίου Σπυρίδωνος Ἦχος πλ. Δ'. Τῇ ὑπερμάχῳ.

Τῷ τῆς Κερκύρας λυτρωτῇ, νῦν ὑπανοίγομεν, ὡς τροπαιούχῳ μὶ μητῇ τὰ αἰσθητήρια, ἀνακράζοντες οἱ δοῦλοι σου Θεοτόκε, σοὶ τῷ ἔχοντι ἀεὶ τὸ εὐσυμπάθητον, ἐκ βαρβάρων ὦ Σπυρίδων, περιφρούρησον, τοὺς κραυγάζοντας, χαίροις Πάτερ ἀήττητε.

Μεγαλυνάριον.

Τῶν θαυμάτων πέλαγος γεγονώς, πάσης τρικυμίας, ἐν θαλάσσῃ τε καὶ ἐν γῇ, μέγιστε Σπυρίδων, διάσωζε εὐχαῖς σου, τοὺς ἐπικαλουμένους μέγα σου ὄνομα.



«'Ακολουθία 'Αγίου Σπυρίδωνος Βενετία 1895».

12. Τῶν 'Αγίων μαρτύρων Φωτίου καὶ 'Ανικήτου.

'Απολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε, καὶ τοῦ 'Οσίου Μαξίμου. 'Ορθοδοξίας ὁδηγέ.

Συμψάλλεται σήμερον καὶ τοῦ 'Οσίου Μαξίμου, διὰ τὸ ἀποδίδεσθαι αὔριον ἡ ἑορτὴ τῆς Μεταμορφώσεως.

Κοντάκιον τοῦ 'Οσίου Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Φῶς τὸ τριλαμπές, οἰκῆσαν ἐν τῇ Ψυχῇ σου, σκεῦος ἐκλεκτόν, ἀνέδειξέ σε παμμάκαρ· σαφηνίζεις καὶ γὰρ τὰ θεῖα τοῖς πέρασι, δυσεφίκτων νοημάτων τε τὴν δήλωσιν μακάριε, τὴν Τριάδα πᾶσι Μάξιμε, ἀνακηρύττων τρανῶς ὑπερούσιον ἄναρχον.

Κοντάκιον 'Αγίου Μαξίμου Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τῆς 'Εκκλησίας ὑπέρμαχε θεηγόρε, ὀρθοδοξίας ἀσφάλεια καὶ λαμπρότης, λύρα τῆς εὐσεβείας καὶ ὄργανον, καὶ μοναστῶν τὸ θεῖον καὶ ἱερὸν ἀγλάϊσμα, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Μεγαλυνάριον τῆς Μεταμορφώσεως.

Ὡς τοὺς 'Αποστόλους θείῳ φωτί, κατήγασας τότε ἐν τῷ Ὄρει Χριστὲ Θαβώρ, οὕτως ἡμῶν πάντων τὰς ψυχὰς φωτοδότα, φώτισον καὶ σῶσον ὡς ὑπεράγαθος.

13. Τοῦ 'Οσίου Πατρὸς ἡμῶν Μαξίμου.

'Απολυτίκιον Κοντάκιον καὶ Μεγαλυνάριον καὶ ἅπασα ἡ 'Ακολουθία τῆς Μεταμορφώσεως καὶ 'Απόδοσις.

14. Προεόρτια τῆς Κοιμήσεως, καὶ τοῦ 'Αγίου Προφήτου Μηχαίου. 'Απολυτίκιον Ἦχος Δ'. Ταχὺ προκατάλαβε.

Λαοὶ προσκιρτήσατε, χεῖρας κροτοῦντες πιστῶς, καὶ πόθῳ ἀθροίσθητε, σήμερον χαίροντες, καὶ φαιδρῶς ἀλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ τοῦ Θεοῦ γὰρ ἡ Μήτηρ, μέλλει τῶν ἐπιγείων, πρὸς τὰ ἄνω ἀπαίρειν ἐνδόξως· ἣν ἐν ὕμνοις ἀεί, ὡς Θεοτόκον δοξάζωμεν.

Κοντάκιον Ἦχος Δ'. 'Επεφάνης σήμερον.

Τῇ ἐνδόξῳ μνήμῃ σου, ἡ οἰκουμένη, προσκιρτῶσα σήμερον, μετ' εὐφροσύνης μυστικῶς, Θεοκυήτορ κραυγάζει σοι. Χαῖρε Παρθένε χριστιανῶν τὸ καύχημα.

Μεγαλυνάριον.

Παρθένε καὶ Μήτηρ τοῦ 'Ιησοῦ, δέξαι ἱκεσίας τῶν πιστῶν τε καὶ εὐλαβῶς, τὴν θείαν σου ὄντως Μετάστασιν τιμώντων, καὶ ῥῦσαι πάσης λύπης καὶ περιστάσεως.

## ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΤΟΝ ΠΛΗΣΙΟΝ ΑΓΑΠΗΣ

Ὁ Κύριος μᾶς λέγει εἰς τὸ ἱερὸν Εὐαγγέλιον, εἰς τὰς πράξεις τῶν ἁγίων Ἀποστόλων, εἰς ὅλην τὴν Παλαιὰν καὶ Νέαν Γραφήν, ὅτι ἔχομεν καθῆκον ἀπαραίτητον νὰ βοηθῶμεν καὶ νὰ εὐσπλαγχνιζώμεθα τὸν πλησίον μας, τὸν πτωχόν. Ὁ προφήτης Ἠσαΐας λέγει, ὅτι, ὅταν οἱ Ἰουδαῖοι ἐγόγγυζον λέγοντες· Διατί Κύριε, ὅταν ἐνηστεύαμεν καὶ ἐθλίψαμεν τὰς ψυχάς μας δεν ἐκύταξες τὰς νηστείας μας οὔτε ποσῶς μᾶς ἐψήφισες; ἀπεκρίθη ὁ Κύριος διὰ μέσου τοῦ αὐτοῦ προφήτου καὶ λέγει· Διατί τὰς ἡμέρας τῆς νηστείας σας κάμνετε τὰ θελήματά σας καὶ ὄχι τὸ ἰδικόν μου; καὶ σφίγγετε καὶ πνίγετε τοὺς χρεωφειλέτας σας, νηστεύετε ὄχι ἀπὸ τὰς μάχας καὶ τὰ κρίματα, οὔτε ἀπὸ τοῦ κακοποιεῖν τὸν πλησίον σας, αὐτὴ ἡ νηστεία δὲν μοῦ ἀρέσει, αὐτὴν τὴν νηστείαν ἐγὼ θέλω, λέγει ὁ Κύριος. Νὰ ξεσχίσετε τὰς γραφὰς τοῦ ψεύδους, διαρρήξατε τὰ βίαια συναλλάγματα, ἀφεῖτε τοὺς τεθλιμμένους εἰς τὴν ἐλευθερίαν των, ὅταν ἔχετε ἕνα ψωμὶ μοιράσετε τὸ μισὸ εἰς τὸν πτωχόν, καὶ νὰ δέχεσθε τοὺς ξένους καὶ πτωχοὺς εἰς τὸ σπῆτι σας, καὶ ὅταν κάμνετε αὐτὰ ὅλα τὰ ὁποῖα λέγω, τότε θὰ σᾶς δώσω ὅλα τὰ ἐπίγεια καὶ τὰ οὐράνια ἀγαθά, εἴδατε πόσον εὐχαριστεῖται ὁ ἐλεήμων Θεὸς νὰ ἀγαθοποιοῦμεν τοὺς πτωχούς; Ὁ προφήτης Ζαχαρίας, ὁ πατὴρ τοῦ ἁγίου Ἰωάννου λέγει: ὅτι μίαν ἡμέραν ἐπῆγαν πρὸς τὸν Χριστὸν μερικοὶ Ιουδαῖοι διδάσκαλοι καὶ ἠρώτησαν αὐτὸν λέγοντες: Κύριε, πόσες ἡμέ ες πρέπει νὰ νηστεύσωμεν διὰ νὰ ἀρέσωμεν πρὸς τὸν Θεόν; Ὁ Κύριος εἶπε πρὸς αὐτούς· Ἀδελφοί, ἀκούσατε ὁποίαν νηστείαν θέλει ὁ Θεὸς νὰ κάμνετε; Προσέχετε νὰ φυλάξετε τὴν δικαιοσύνην καὶ νὰ κρίνετε δίκαια τὸν πλησίον σας, κάμνετε ἔργα φιλανθρωπίας καὶ ἐλεεῖτε τοὺς πτωχούς. Μὴ ζητᾶτε αἰτίαν καὶ πρόφασιν νὰ ἀδικῆτε τὴν χήραν καὶ τὸ ὀρφανόν, τὸν ξένον καὶ τὸν πτωχόν. Μὴ βάζετε εἰς τὸν νοῦν σας νὰ κακοποιήσετε τινὰ καὶ οὕτως θέλετε μοῦ ἀρέσει καὶ τελεῖτε τὸν νόμον μου. Ὁ δὲ προφήτης Ἠσαΐας λέγει· αὐτὴ εἶνε ἡ ἀνάπαυσίς μου νὰ θρέψετε τοὺς πεινῶντας καὶ τοὺς θλιμμένους νὰ παρηγορήσετε. Τὸ ἱερὸν Εὐαγγέλιον λέγει· Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταὶ ἐστὲ, ἐὰν ἀγάπην ἔχετε ἐν ἀλλήλοις, καθὼς ἐγὼ σᾶς ἠγάπησα χωρὶς νὰ κάμνετε πρὸς ἐμὲ κανένα ἀγαθόν, ἀλλὰ μάλιστα εἶστε καὶ ἐχθροί μου διὰ τὰς ἀνομίας σας, ἐγὼ ὅμως σᾶς εὐσπλαγχνίσθηκα δωρεὰν καὶ ἐνεδύθην σάρκα διὰ



νὰ σᾶς φιλιώσω μὲ τὸν Πατέρα μου, οὕτω θέλω καὶ ἐσᾶς νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον σας, καθὼς ἠγάπησεν ἐμὲ ὁ Πατὴρ ἠγάπησα καὶ ἐγὼ ἐσᾶς, καὶ ἐὰν φυλάξετε τὰς ἐντολάς μου θέλετε μένει εἰς τὴν ἀγάπην μου, ὅλας τὰς ἀρετὰς νὰ κάμνῃ κανείς, ἐὰν παραδώσῃ τὸ σῶμά του εἰς μάστιγας καὶ εἰς τὸν θάνατον διὰ τὸν Χριστὸν, οὐδὲν ὠφελεῖται ἐὰν δὲν ἔχῃ ἀγάπην. Ἕνας παπᾶς εὐσεβὴς, ὀνόματι Σαπρίκιος, εἶχεν ἔχθραν μὲ ἕνα κοσμικὸν, Νικηφόρον τὸ ὄνομα. Πολλὲς φορὲς ὁ κοσμικὸς ἐζήτει συγχώρεσι ἀπὸ τὸν παπᾶ Σαπρίκιον, ἀλλ᾽ αὐτὸς δὲν τοῦ ἔδιδε. Ἀναμεταξὺ ὅπου εἴχανε αὐτὸ τὸ μῖσος ἔπιασαν οἱ εἰδωλολάτραι τὸν παπᾶ καὶ τὸν ἐβασάνισαν διὰ νὰ ἀρνηθῇ τὸν Χριστὸν καὶ δὲν ἤθελεν, ἀλλὰ ἔστεκεν εἰς τὴν πίστιν ἀνδρείως καὶ ὑπέμενε διάφορα κολαστήρια. Τέλος πάντων ἔδωκεν ὁ Ἄρχων ἀπόφασιν νὰ κόψουν τὴν κεφαλήν του. Τοῦτο μαθὼν ὁ Νικηφόρος καὶ γνωρίζων, ὅτι ἐὰν δὲν κάμνουσι διαλλαγὴν δὲν τὸν ὠφελεῖ ποσῶς τὸ μαρτύριον, ἐπῆγε εἰς τὴν φυλακὴν καὶ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ ἐζήτει συγχώρεσιν, ὁ δὲ Σαπρίκιος κἂν νὰ τὸν ἰδῇ δὲν ἐστράφη, τὴν ἐπαύριον τὸν ἐπῆγαν εἰς τὸν τόπον τῆς καταδίκης, ὅπου πηγαίνει πάλιν ὁ Νικηφόρος καὶ πίπτει ἐπὶ τῆς γῆς δεόμενος νὰ τὸν συγχωρήσῃ.

---

## ΤΟ ΨΕΥΔΟΣ

Ἀπὸ ὅλας τὰς κακίας τὸ ψεῦδος εἶνε ἡ πλέον χειροτέρα καὶ ἡ πλέον ἐπιβλαβής. Ὁ ψεύστης ποτὲ δὲν ἠμπορεῖ νὰ ζήσῃ ὡς ἄνθρωπος μὲ ἀξιοπρέπειαν. Δὲν λέγω τίποτε δι᾽ ἐκεῖνον ὁ ὁποῖος λέγει ψέμματα διὰ νὰ γελάσῃ καὶ νὰ περάσῃ τὴν ὥρα του. Αὐτὸς βέβαια δὲν ἔχει καὶ δὲν ἠμπορεῖ νὰ ἔχῃ καμμίαν ἀξιοπρέπειαν. Ἐδῶ πρόκειται περὶ ἐκείνου ὁ ὁποῖος λέγει ψέμματα ἐπάνω εἰς τὴν δουλειά του. Νομίζει ὁ ταλαίπωρος ὅτι μὲ τὰ ψέμματα θὰ κερδίσῃ περισσότερα. Δὲν σκέπτεται ὅτι τὸ ψέμμα εἶνε ἀπὸ ἐκείνας τὰς κακίας αἱ ὁποῖαι πρῶτα πρῶτα βλάπτουν τὸν ἀφεντικό των. Πράγματι δὲ τὰς κακὰς συνεπείας τοῦ ψεύδους τὰς δοκιμάζει πρῶτος ὁ ψεύστης, διὰ νὰ πεισθῇ δὲ ὁ καθεὶς περὶ τούτου δὲν ἔχει παρὰ νὰ ἀκολουθήσῃ τὸν ψεύστην εἰς τὸ ἐπάγγελμά του· εἶνε π. χ. ράπτης· πηγαίνει κάποιος καὶ τοῦ λέγει νὰ κόψῃ ἕνα φόρεμα· τὸν ἐρωτᾷ τί ζητεῖ διὰ τὸν κόπον του; καὶ ἐκεῖνος ἀντὶ νὰ ὁμιλήσῃ λογικὰ πράγματα καὶ νὰ ζητήσῃ τὴν πραγματικὴν ἀμοιβὴν τοῦ ζητεῖ διπλᾶ καὶ τριπλᾶ, καί τοῦτο

πολλὰς φορὰς τὸ κάμνουν καὶ ἄνθρωποι ὄχι κακοὶ κατὰ φύσιν, ἀλλὰ διότι δὲν ἤξευρονν νὰ σκεφθοῦν ποῖον εἶνε τὸ ἀληθινὸν συμφέρον των. Νομίζουν δὲ ὅτι μὲ αὐτὸν τὸν τρόπον τοῦ ψέμματος θὰ κερδίσουν περισσότερα. Πῶς λέγουν μερικοί, ὅταν ἀντὶ νὰ πάρω ἕνα πέρνω τρία δὲν κερδίζω περισσότερα; καὶ ὅμως ταλαίπωρε ἄνθρωπε δὲν κερδίζεις τίποτε καὶ ἰδοὺ διατί, ὁ πελάτης σου ὅταν ἀκούσῃ νὰ τοῦ ζητᾷς ποσὸν τόσον, ὅσον δὲν περιμένει, ἀρχίζει νὰ σκέπτηται ὅτι δὲν τοῦ λέγεις την ἀλήθειαν. ἅμα σχηματίσῃ αὐτὴν τὴν ἰδέαν ἰδοὺ τί θὰ συμβῇ: Ἐὰν μὲν εἶνε ἄνθρωπος κακὸς καὶ διεστραμμένος θὰ σὲ ὑβρίσῃ καὶ θὰ φύγῃ, ἀλλὰ καὶ ἐὰν ἀκόμη ἐκ φιλοτιμίας μείνῃ καὶ παραδεχθῇ τοῦτο θὰ εἶνε ἡ τελευταία φορὰ ὅπου τὸν βλέπῃς Θὰ ἐφαρμοσθῇ λοιπὸν καὶ εἰς ἐσὲ ἡ παροιμία «ὁ κλέφτης καὶ ὁ ψεύτης τὸν πρῶτο χρόνο χαίρεται». Καὶ τὸ μικρὸ παιδίον τὸ στέλει ἡ μητέρα του νὰ τῆς ἀγοράσῃ κρέας ἢ ψάρια, τοῦ ὁρίζει ὅτι εἰς τὸ κρέας θὰ δώσῃ 8 δραχμὰς διὰ μία ὀκᾶ, αὐτὸ ἀγοράζει ὀλιγώτερον τῆς κανονισμένης τιμῆς καὶ τὰ ἐπίλοιπα χρήματα τὰ τρώγει εἰς γλυκίσματα καὶ φροῦτα. Ἄλλοτε τὸ στελλει νὰ εἴπῃ ἕνα λόγον εἰς ἕνα πρόσωπον, καὶ τοῦ λέγει νὰ προσέχῃ νὰ τῆς φέρῃ ἀπάντησι καλή, αὐτὸ ὅμως ἀντὶ ἀπαντήσεως σωστῆς λέγει ὅτι τοῦ φθάσῃ, καὶ πολλάκις συμβαίνει νὰ κάμῃ τὸ σπῆτι των ἄνω κάτω μὲ τὰ ψέμματα, τὸ ἐρωτᾷ ἡ Μητέρα: «Παιδί μου ἐγνώριζες σήμερον τὸ μάθημά σου;» «Μάλιστα Μητέρα μου στὸ νερὸ τὸ εἶπα». Καὶ αὐτὸ δὲν ἤξευρε νὰ εἰπῇ λέξιν. Ἰδοὺ τὰ ψέμματα τοῦ μικροῦ παιδίου. Καὶ διατὶ λοιπὸν ἕνα τόσον μικρὸν παιδακι νὰ γνωρίζῃ τόσα ψέμματα; Διότι τὸν καιρὸν ὅπου ἐπρωτοεῖπε τὸ ψέμμα δὲν τὸν τιμώρησε ἡ Μητέρα του. Τὸ θεώρησε πολὺ ἀσήμαντον κακόν. Παιδάκι εἶναι καλὲ καὶ θὰ παίξῃ καὶ θὰ διασκεδάσῃ καὶ θὰ γελάσῃ, σοῦ λέγουν πολλὲς μητέρες. Ἰδοὺ ἡ αἰτία ὅπου τὰ περισσότερα παιδιὰ τό μόνον των ἐπάγγελμα καὶ τὸ μάθημα εἶναι τὸ ψέμμα.

## ΥΓΙΕΙΝΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ

### Περὶ ὕπνου.

Ὁ ὕπνος εἶναι ἀναγκαιότατος εἰς τὴν ὑγείαν, διότι δι' αὐτοῦ ἀναπαύεται καὶ τὸ σῶμα καὶ ὁ νοῦς ἡμῶν, καὶ τοιουτοτρόπως νέας δυνάμεις ἀναλαμβάνουσι κατὰ τὴν διάρκειαν τοῦ ὕπνου. Ἂς ἀκολουθῶμεν δὲ τὰ ἑξῆς ὑγιεινὰ παραγγέλματα τὰ ἀφορῶντα τὸν ὕπνον:



1). Καθὼς διὰ τὴν τροφήν, διὰ τὴν ἐργασίαν, τοιτοτρόπως καὶ διὰ τὸν ὕπνον, πρέπει νὰ ἔχωμεν τακτικὰς καὶ ὡρισμένας ὥρας.

2). Διὰ νὰ ἤμεθα πάντοτε ὑγιεῖς καὶ διὰ νὰ ζήσωμεν περισσότερα χρόνια, πρέπει νὰ ἐξυπνῶμεν τὴν πρωίαν ἐνωρίς. Ποτὲ δὲν πρέπει ὁ ἥλιος νὰ μᾶς εὑρίσκῃ κοιμωμένους, ἀλλ' οὔτε καὶ πολὺ ἐνωρίς, διότι ὁ ὕπνος τῆς πρωίας εἶνε ὁ ἀναπαυτικώτερος. Συνήθως πρέπει νὰ ἐγειρώμεθα ἡμίσειαν ὥραν πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου.

3). Εὐθὺς ἅμα ἐξυπνήσωμεν πρέπει νὰ ἐγειρώμεθα (σηκωνώμεθα) ταχέως ἐκ τῆς κλίνης, διότι μένοντες ἐπὶ τῆς κλίνης ἄξυπνοι βλάπτομεν τὴν ὑγείαν μας, εἰσπνέοντες τὸν ἀκάθαρτον καὶ μεμολυσμένον ἀέρα τοῦ δωματίου τοῦ ὕπνου.

4). Δὲν πρέπει νὰ κοιμώμεθα κατὰ τὴν διάρκειαν τῆς ἡμέρας, διότι ὁ ὕπνος τῆς ἡμέρας βλάπτει τὴν ὑγείαν, δυνάμεθα νὰ κοιμηθῶμεν ὀλίγην ὥραν μετὰ τὴν μεσημβρίαν, ἀλλὰ καὶ τότε πολὺ ὀλίγον καὶ ἀφοῦ παρέλθῃ ἀρκετὴ ὥρα μετὰ τὸ φαγητόν.

5). Πρέπει νὰ μὴ κοιμώμεθα ἐπάνω εἰς πολὺ μαλακὰ στρώματα καὶ προσκέφαλα, οὔτε νὰ σκεπαζώμεθα μὲ βαρέα παπλώματα, διότι ταῦτα ἐξασθενοῦσιν (ἀδυνατίζουσι) τὸ σῶμα καὶ τὸ καθιστῶσιν εὐπρόσβλητον εἰς τὰς ἀσθενείας. Ἡ σκληραγωγία εἶναι τὸ καλλίτερον μέσον διὰ τοῦ ὁποίου ἀποφεύγομεν τὰς ἀσθενείας.

---

## ΔΙΑΦΟΡΟΙ ΣΥΜΒΟΥΛΑΙ

Μὴ λέγῃς ποτὲ ψέμματα, ἔστω καὶ γιὰ ἀστεῖα, διότι πλέον δὲν θὰ σὲ πιστεύουν καὶ ἂν λέγῃς τὴν ἀλήθειαν. Ὁ ἱερεὺς καὶ ὁ διδάσκαλος εἶνε οἱ στύλοι τῆς κοινωνίας, ὅταν θὰ λείψουν αὐτοὶ οἱ δύο στύλοι ὁ λαὸς θὰ γκρεμίσῃ εἰς ἕνα βάραθρον. Ὁ Θεὸς νὰ σὲ φυλάγῃ ἀπὸ κατάρα ἁμαρτωλοῦ ἱερέως. Καλὸς ἢ κακὸς καλόγηρος στὴ πόρτα τοῦ Παραδείσου. Ὅ,τι κάμνεις καὶ ὅ,τι εἰπῇς ὅλα θέλεις τὰ λουσθῇς. Ὅποιος δὲν τιμᾷ τὸν παπᾶ κακὸ τέλος θὰ ἔχῃ. Φοβοῦ τὸν Θεὸν παρὰ τοὺς ἀνθρώπους. Ἡ γυναικεία ἡλικία εἶνε ὡρολόγιον τὸ ὁποῖον αἰωνίως πηγαίνει ὀπίσω. Ἀνελεήμων ἄνθρωπος ὁμοιάζει μὲ πλοῖον ἄνευ πηδαλίου. Ἄνευ ἐλέους θὰ εἶνε ἡ κρίσις τοῦ Κυρίου εἰς τοὺς μὴ ποιήσαντας ἔλεος. Ἔλεος θέλω καὶ οὐ θυσίαν.

# ΕΥΡΙΣΚΟΝΤΑΙ ΠΑΡ' ΗΜΙΝ

## 1) ΑΙ ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

Τῆς Ἀναστάσεως τοῦ Κυρίου. Κυριακὴ τοῦ Πάσχα.
Παναγίας Μυρτιδιωτίσσης Κυθήρων.
Τῆς Κοιμήσεως τῆς Θεοτόκου μετὰ Ἐπιταφίου καὶ ἐγκωμίων.
Ἁγίου Νικολάου μετὰ τοῦ βίου του, παρακλήσεως καὶ χαιρετισμῶν.
Ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου πολιούχου Ἀθηνῶν.
Ἁγίου Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν.
Ἁγίου Ἰσιδώρου τοῦ ἐν Χίῳ μετὰ τοῦ βίου του,
Ἀντίπα Ἐπισκόπου Περγάμου.
Ἁγίας Παρασκευῆς τῆς Νέας, Ὀκτωβρίου 14 μετὰ βίου πλήρης.
Ἁγίου Μοδέστου Πατριάρχου Ἱεροσολύμων.
Ἁγίας Φωτεινῆς Σαμαρείτιδος καὶ Ἁγ. Ἰωάννου μετὰ παρακλήσεως καὶ χεραιτισμῶν.
Ἁγίου Διονυσίου Ἐπισκόπου Αἰγίνης μὲ ἐκτεταμένον βίον.
Ἁγίου Ἱερομάρτυρος Φωκᾶ Ἐπισκ. Σινώπης.
Τοῦ Εὐαγγελιστοῦ Λουκᾶ μετὰ βίου, καὶ Προσευχῆς.
Τῆς Μεταμορφώσεως μετὰ ὁμιλίας καὶ Παρακλήσεως.
Ἀκολουθία τοῦ Ὁσίου Πατρὸς Στυλιανοῦ τοῦ Παφλαγῶνος.

## 2) ΧΑΙΡΕΤΙΣΜΟΙ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

Κυριακὴ τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου.
Δευτέρα τῶν παμμεγίστων Ταξιαρχῶν.
Τρίτη τοῦ Τιμίου Προδρόμου.
Τετάρτη τῆς Κοιμήσεως τῆς Θεοτόκου.
Πέμπτη τῶν Ἁγίων ἐνδόξων Ἀποστόλων.
Παρασκευὴ τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ.
Σάββατον τοῦ Ἁγίου Διονυσίου Αἰγίνης καὶ Ἰωάννου τοῦ Θεολόγου.

## 3) ΒΙΟΙ ΑΓΙΩΝ

Ἐκ τοῦ Ν. Θησαυροῦ 1839.

Τῶν Ταξιαρχῶν μετὰ παρακλήσεως καὶ χαιρετισμῶν.
Τοῦ Προδρόμου μετὰ δύο παρακλήσεων καὶ χαιρετισμῶν.
Τοῦ Ἁγίου Γεωργίου μετὰ παρακλήσεως καὶ χαιρετισμῶν.
Τὸ Ἱστορικὸν τοῦ Σταυροῦ μετὰ παρακλήσεων καὶ χαιρετισμῶν.
Βίος καὶ Πολιτεία τοῦ Οὐρανοφάντορος Βασιλείου τοῦ Μεγάλου μετὰ Πολυελέου.
Βίος καὶ Πολιτεία τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρέα.
Εἰς τὰ Ἅγια τοῦ Κυρίου Σωτήρια πάθη.
Εἰς τὴν σταύρωσιν τοῦ Σωτῆρος Μ. Παρασκευή.

Ἐν Ἀθήναις τῇ 15 Νοεμβρίου 1922.

Ὁ εὐχέτης καὶ πνευματικὸς πατὴρ
ΓΕΩΡΓΙΟΣ Α. ΒΟΥΤΕΡΗΣ Ἱερεύς